3 Haec 2. pers. per se scripturam enotatam inveni hic quidem e solo Clarkiano optimo, qui plurimis aliis locis dat eandem, non raro aliis quoque e melioribus codicibus addicentibus. Hinc ego quoque constanter nunc ubique eam adoptavi. Vid. Valck. ad Phoen. 576. pag. 216. 217. Fischer ad Plat. Euthyphr. 19. et nos infra ad Crit. 4.

4 Codd. optimos secutus Bekker articulum τὸ hic omisit. Sollemnis est omissio articuli in ejusmodi vocabulis qualia sunt *σχῆμα, σῶμα, ψυχή, πατρίς*, cet. quando non de definito quodam sed de genere posita sunt. Vid. mox §. 8. extr. *τοῦτ' εἶναι σχῆμα*, et conf. infra ad Crit. 8.

5 Gedikius in voce *χρώματι* offendens, ob circulum maxime, quem Plato admitteret definiendo mox (9) colorem tanquam defluxum figurarum, non animadverterat, ad ludendos tantum sophistas hanc a Socrate hic afferri definitionem, quam missam mox facit aliamque substituit §. 8. d., cui apta est illa coloris definitio.

6 Istud *εἶεν* Socratis personae convenire non videtur. Eadem autem vox sic sermoni alterius intexerta legitur etiam in Cratylo p. 410. c. ibique Heusdius eam confidenter, dubitanter Heindorfius utroque loco, eidem tribuunt qui et praecedentia et subsequentia pronuntiat. Certe Ficinus utrobique eam omisit, quod non videtur facere potuisse, si ut alterius sermonem in suo codice secretam hanc vocem invenisset. Haesito tamen an Ficino contra tot hodie codices collatos tanta tribuenda sit auctoritas. Atque, ut de Cratyli loco nihil pronuntiem, nostro loco istud *εἶεν* a Socrate prolatum non inepte dicas respondere illi *ποῦ*, quo Meno aliquam suam diffidentiam (vid. Ind. in *ποῦ*) ostendit, an recte verba Socratis intellexerit. *Εἶεν* autem, hoc est, *esto*, ideo reponit Socrates, ne ut suam revera sententiam illud agnoscere videatur.

7 Perf. sensu passivi (cf. Gramm. §. 100. Obs. 7.) „quid „credis a te responsum esse?" Sic Theaet. p. 187. b. *καὶ τοῦτό μοι ἀποκεκρίσθω*. Vid. Heind. ad Gorg. 19.

1 Sic

εἴῃ καὶ ἐριστικῶν τε καὶ ἀγωνιστικῶν ὁ ἐρόμενος, εἰποιμ' ἂν αὐτῷ· ὅτι ἐμοὶ μὲν εἴρηται· εἰ δὲ μὴ ὀρθῶς λέγω, σὸν ἔργον, λαμβάνειν λόγον καὶ ἐλέγχειν. εἰ δὲ, ὥσπερ ἐγώ τε καὶ σὺ νυνὶ, φίλοι ὄντες βούλοιντο [1] ἀλλήλοις διαλέγεσθαι, δεῖ δὴ πρᾳοτερόν πως καὶ διαλεκτικώτερον [2] ἀποκρίνεσθαι. ἔξι δὲ ἴσως τὸ διαλεκτικώτερον, μὴ μόνον τἀληθῆ ἀποκρίνεσθαι, ἀλλὰ καὶ δι' ἐκείνων, ὧν ἂν προσομολογῇ εἰδέναι ὁ ἐρωτώμενος [3]. πειράσομαι δὴ καὶ ἐγώ σοι οὕτως εἰπεῖν.

1 Sic, *φίλοι ὄντες* (sc. *τινὲς*) *βούλοιντο*, jungendum, ut subjecto suo ne careat verbum. Vulgo jungitur *ὥσπερ — — ὄντες*, quo pacto *βουλοίμεθα* requireretur pendens a superioribus, in quibus Socrates itidem se colloquentem finxerat.

2 Male Gedikius olim negaverat *διαλεκτικώτερον* hic esse *magis dialectico more*, statueratque accipiendum de eo quod *convenientius esset regulis familiaris consuetudinis et sermonis*, recte ideo reprehensus a Schleiermachero. Nempe cogitarat Gedikius de sophistarum argutiis falsaque dialectica. Monendi igitur sunt tirones, hanc eo nomine nunquam designari a Platone, cui ars optima est *διαλεκτικὴ*, *ἀπὸ τοῦ διαλέγεσθαι* dicta, non verbis circumvenire docens alterum, sed persuadere quod verum est; cujus in doctis de philosophia disputationibus haud diversae sunt regulae atque in familiari colloquio. Hinc est quod Plato in Cratylo *διαλεκτικὸν* vocat *τὸν ἐρωτᾶν καὶ ἀποκρίνεσθαι ἐπιστάμενον*, et revera lucem nostro loco affert ille Protagorae (p. 336. a.): *εἰ οὖν ἐπιθυμεῖς ἐμοῦ καὶ Πρωταγόρου ἀκούειν, τούτου δέου, ὥσπερ τοπρῶτόν μοι ἀπεκρίνατο διὰ βραχέων καὶ αὐτὰ τὰ ἐρωτώμενα, οὕτω καὶ νῦν ἀποκρίνεσθαι· εἰ δέ μὴ, τίς ὁ τρόπος ἔσται τῶν διαλόγων; χωρὶς γὰρ ἔγωγ' οἶμαι εἶναι τὸ συνεῖναί τε ἀλλήλοις διαλεγομένους, καὶ τὸ δημηγορεῖν.* Nam *δημήγοροι* illi non secus ac sophistae speciem magis veri quam ipsam veritatem sectabantur.

3 Verissima mihi, ut Schleiermachero, videtur Cornarii emendatio *ὁ ἐρώμενος*, quo verbo paulo superius eadem persona significatur. Gedikius tamen *τὸν ἐρωτώμενον* explicabat de eo qui Socratica methodo docetur, quoniam is de eo ipso quod quaerat a docente *interrogetur*: eamque sententiam pluribus exornavit Ullrichius. Quibus mihi tamen non persuasit. Nam Socrates suam methodum sic, tanquam omnibus notam et veluti constitutam, verbo obiter tangere potuisse mihi quidem non videtur; multo minus hic ubi diversa colloquii ratio patet; omnium minime autem tam inconcinne Plato hoc verbis expressisset, ut jungeret *ἀποκρίνεσθαι δι' ἐκείνων, ὧν ἂν προσομολογῇ εἰδέναι ὁ ἐρωτώμενος*. Codices tamen vulgatam tenent: nisi codicis instar nobis est interpretatio Ficini, quae habet, *qui rogat*.

προσομολογῇ. Conf. §. 12. extr. *εἰ γὰρ καὶ μέμνησαι, ὅτ' ἐγὼ ἄρτι ἀπεκρινάμην περὶ τοῦ σχήματος, ἀπεβάλλομέν που τὴν τοιαύτην ἀπόκρισιν τὴν διὰ τῶν ἔτι*

c. λέγε γάρ μοι, τελευτὴν καλεῖς τι, τοιόνδε λέγων, οἷον πέρας καὶ ἔσχατον; [4] πάντα ταῦτα ταυτόν τι λέγω. ἴσως δ' ἂν ἡμῖν Πρόδικος διαφέροιτο [5]. ἀλλὰ σύ γέ που καλεῖς πεπεράνθαι τι καὶ τετελευτηκέναι. τὸ τοιοῦτον βούλομαι λέγειν, οὐδὲν ποικίλον [6]. ΜΕΝ. Ἀλλὰ καλῶ· καὶ οἶμαι μανθάνειν ὃ λέγεις. ΣΩ. Τί δ'; ἐπίπεδον [7] καλεῖς τι, καὶ ἔτε- p. 76.
ρον αὖ ςερεὸν, οἷον ταῦτα τὰ ἐν ταῖς γεωμετρίαις; ΜΕΝ.
d. Ἔγωγε καλῶ. ΣΩ. Ἤδη τοίνυν ἂν μάθοις μου ἐκ τούτων σχῆμα ὃ λέγω· κατὰ γὰρ παντὸς σχήματος τοῦτο λέγω, εἰς ὃ τὸ ςερεὸν περαίνει, τοῦτ' εἶναι σχῆμα· ὅπερ ἂν συλλα-
9 βὼν εἴποιμι, ςερεοῦ πέρας σχῆμα εἶναι. ΜΕΝ. Τὸ δὲ χρῶμα τί λέγεις, ὦ Σώκρατες; ΣΩ. Ὑβριςής γ' εἶ, ὦ Μένων. ἀνδρὶ πρεσβύτῃ πράγματα προστάττεις ἀποκρίνεσθαι [1]· αὐτὸς δὲ οὐκ ἐθέλεις ἀναμνησθεὶς εἰπεῖν, ὅ,τι ποτὲ λέγει Γορ-

ζητουμένων καὶ μήπω ὡμολογημένων ἐπιχειροῦσαν ἀποκρίνεσθαι. Unde firmari videtur Gedikii conjectura προομολογῇ. Sed in hac forma necessarium foret praeteritum προομολογήσῃ; quo non opus est in forma quoad tempus indefinita προσομολογεῖν de qua vid. Ind.

4 Be. signo interrogandi statim post καλεῖς τι posito, pro λέγων ex parte codicum scripsit λέγω.

5 Notissima affectata *Prodici* ars synonyma discriminandi; vid. Charmid. p. 163. d. Protag. p. 337. a.

6 „Sed tu in sermone communi opinor (που: v. Ind.) interdum dicis de aliqua re, eam terminari, finiri. Ejusmodi etiam est id de quo nunc locuturus sum." *Οὐδὲν ποικίλον, nihil varium subdolumque, quod ambagibus deludat et difficilem habeat explicatum.* Ita Heindorfius ad Gorg. 102. Cf. Cratyl. 23. Phileb. 33. in quibus locis eadem vi sermonem haec formula orditur, qua hic claudit.

7 Sic Be. e Vind. et Ven. utr. quibus jam accedit Clark. Vulgo Τὸ δ' ἐπ. perperam: cf. mox ςερεόν et supra τελευτήν.

1 Pro πράγματα malim παραυτίκα, ut sequenti ἀναμνησθείς oppositum sit. „A me sene postulas, ut *extemplo* respondeam, cum tu adolescens, quae audita *recordari* tantum debeas, nolis dicere." *GED.* Xen. Oec. 17, 11. τοῖς ἀσθενεςέροις πᾶσι μείω προστάττειν πράγματα: qui locus tutatur scripturam loci Platonici, dum ipse inde firmatur male tentatus a Marklando ad Lysiam p. 532. *HEIND.*

Sensus vocis παραυτίκα inest ipsi verbo προστάττειν; et recte de *molestia* (v. Ind. in πράγματα) queri potest, cui talia injunguntur. Infinitivus autem ἀποκρίνεσθαι explicationem continet vocis πράγματα, quasi per appositionem; fere ut infra §. 13. δοκεῖς μοι νῦν ἐμὲ τοιοῦτόν τι πεποιηκέναι, ναρκᾶν.

2 Ἐπι-

γίας ἀρετὴν εἶναι. MEN. Ἀλλ' ἐπειδάν μοι σὺ τοῦτ' εἴπῃς, ὦ Σώκρατες, ἑρῶ σοι. ΣΩ. Κἂν κατακεκαλυμμένος b. *τις γνοίη, ὦ Μένων, διαλεγομένου σου, ὅτι καλὸς εἶ, καὶ ἐρασταί σοι ἔτι εἰσί. MEN. Τί δή; ΣΩ. Ὅτι οὐδὲν ἄλλ' ἢ ἐπιτάττεις*[2] *ἐν τοῖς λόγοις· ἅπερ ποιοῦσιν οἱ τρυφῶντες, ἅτε τυραννεύοντες, ἕως ἂν ἐν ὥρᾳ ὦσι. καὶ ἅμα ἐμοῦ ἴσως κατέγνωκας, ὅτι εἰμὶ ἧττων τῶν καλῶν. χαριοῦμαι οὖν σοι καὶ ἀποκρινοῦμαι. MEN. Πάνυ μὲν οὖν χάρισαι. ΣΩ. Βούλει οὖν σοι κατὰ Γοργίαν ἀποκρίνωμαι, ἢ ἄν σὺ μά-* c. *λιστα ἀκολουθήσαις;*[3] *MEN. Βούλομαι. πῶς γὰρ οὔ; ΣΩ. Οὐκοῦν λέγετε ἀπορροάς τινας τῶν ὄντων κατὰ Ἐμπεδοκλέα; MEN. Σφόδρα γε. ΣΩ. Καὶ πόρους, εἰς οὓς καὶ δι' ὧν αἱ ἀπορροαὶ πορεύονται; MEN. Πάνυ γε. ΣΩ. Καὶ τῶν ἀπορρόων τὰς μὲν ἁρμόττειν ἐνίοις τῶν πόρων, τὰς δὲ ἐλάττους ἢ μείζους εἶναι; MEN. Ἔστι ταῦτα. ΣΩ. Οὐκοῦν καὶ ὄψιν καλεῖς τι; MEN. Ἔγωγε. ΣΩ. Ἐκ τούτων δὴ ξύνες ὅ τοι λέγω, ἔφη Πίνδαρος*[4]*. ἔστι γὰρ χρόα* d.

2 Ἐπιτάττειν verbum sollemne de iis, quae τὰ παιδικὰ suis ἐραταῖς injungunt, Vid. Aesch. in Tim. ed. Reisk. p. 98. ubi ex eo ipso, quod Timarchus tanta imperia exercuerit, illum παιδικὰ alterius fuisse orator colligit. *BIE.*

3 Sensus est: „Vin' ut talem tibi proponam coloris definitionem, qualem propositurus esset Gorgias, praeceptor tuus? qua quidem ratione optime me intelligas." — At ex *Empedoclis* disciplina hausta est ea coloris definitio, quam statim profert Socrates. Recte quidem. Empedoclis enim discipulus erat *Gorgias*, teste Diog. Laert. in Emped. 8, 58. Idem Suidas testatur in *Γοργίας* et in *Ἐμπεδοκλῆς*. Quintil. 3, 1: „Gorgias Leon„tinus, Empedoclis, ut tradi„tur, discipulus." — De ipsa autem quam hic profert Socrates, Empedoclis disciplina, videndus in primis Pseudo-Plutarch. de plac. Philos. 4, 9. Ἐμπεδοκλῆς παρὰ τὰς συμμετρίας τῶν πόρων τὰς κατὰ μέρος αἰσθήσεις γίνεσθαι (φησὶ), τοῦ οἰκείου τῶν αἰσθητῶν ἑκάστῳ (leg. ἑκάστου sc. πόρῳ) ἁρμόζοντος. *GED.*

4 Ita incipiebat carmen deperditum Pindari ex Hyporchematum numero, quod laudes Hieronis, regis Syracusarum, celebrabat. Schol. Pind. ad Pyth. 2, 127: *ἰσέον, ὅτι τὸν ἐπινίκιον ἐπὶ μισθῷ συντάξας ὁ Πίνδαρος, ἐκ περιττοῦ συνέγραψεν αὐτῷ προῖκα ὑπόρχημα, οὗ ἡ ἀρχή, Σύνες ὅ,τι λέγω, ζαθέων ἱερῶν ἐπώνυμε.* Add. Schol. ad Nem. 7, 1; et Schol. Aristophan. ad Av. 927. Unde plenius prodit fragmentum ita: *Ξύνες ὅ τοι λέγω, ζαθέων ἱερῶν ἐπώνυμε* (vel *ὁμώνυμε*) *πάτερ, κτίσορ Αἴτνας.* Vid. inter fragm. Pind. a Boeckhio edita num. 71. — *Ξύνες* ap. Plat. edidit Be. e Vat. *ὅ τοι* ex longe plurimis. Vulgo *σύνες ὅ,τι.*

ἀπορρύη σχημάτων ὄψει σύμμετρος καὶ αἰσθητός [5]. MEN. Ἀριστά μοι δοκεῖς, ὦ Σώκρατες, ταύτην τὴν ἀπόκρισιν εἰρηκέναι. ΣΩ. Ἴσως γάρ σοι κατὰ συνήθειαν εἴρηται [6]· καὶ ἅμα, οἶμαι, ἐννοεῖς ὅτι ἔχοις ἂν ἔξ αὐτῆς εἰπεῖν καὶ φωνὴν, ὅ ἐστι, καὶ ὀσμὴν, καὶ ἄλλα πολλὰ τῶν τοιούτων. MEN. Πάνυ μὲν οὖν. ΣΩ. Τραγικὴ [7] γάρ ἐστιν, ὦ Μένων, ἡ ἀπόκρισις. ὥστε ἀρέσκει σοι μᾶλλον ἢ ἡ περὶ τοῦ σχήματος [8]. MEN. Ἔμοιγε. ΣΩ. Ἀλλ' οὐκ ἔστιν [9], ὦ παῖ Ἀλεξιδήμου, ὡς ἐγὼ ἐμαυτὸν πείθω, ἀλλ' ἐκείνη βελτίων. οἶμαι δὲ οὐδ' ἂν σοὶ δόξαι [10], εἰ μὴ, ὥσπερ χθὲς

5 Vox *αἰσθητός* non minus quam *σύμμετρος*, referenda ad *ὄψει*. „Color est figurarum efluxus, visui congruus perque eum sensibilis." Eandem fere coloris definitionem affert noster in Timaeo, ubi esse dicit *φλόγα τῶν σωμάτων ἑκάστων ἀπορῥέουσαν, ὄψει σύμμετρα μόρια ἔχουσαν πρὸς αἴσθησιν*, cujus definitionis reminiit etiam auctor de Plac. Phil. 1, 15. omittens tamen vocem *ἀπορῥέουσαν*, et pro *πρὸς αἴσθησιν* scribens *π. τὴν ὄψιν*. *GED.*

6 Sensus est: „Est forsitan haec definitio talis quales audire consuevisti ex Gorgia, Empedoclis discipulo." Hanc autem ipsam coloris definitionem Empedocleam esse, patet etiam e libro de Pl. Ph. I. I. ubi legimus secundum Emped. colorem esse *τὸ τοῖς πόροις τῆς ὄψεως ἐναρμόττον*. [Schleierm. tamen ex nostro potius loco sua de Empedocle hausisse autumat auctorem libri de Pl. Ph.] Sed *efluxus* quoque et notionem et vocem ex Empedoclis disciplina sumptam esse, ex eodem scripto patet, 4, 14, ubi philosophus ille dicitur explicasse *κατὰ ἀπορῥοίας* etc. — Pergit Socrates: „et simul intelligis te ad hujus definitionis similitudinem *vocis* quoque et *odoris* definitionem facile formare posse." *Vox* enim sit *ἀπορῥοὴ ἀκοῆ σύμμετρος καὶ αἰσθητός*. *GED.*

7 Definitionem illam *tragicam* Socrates vocat, quod emanatio ista figurarum e corporibus *sublimem* quandam et *poeticam* imaginem animo offert. [Immo enuntiationis forma potius respicitur, et orationis color.] Apud Diog. 8, 70, Diodorus Ephesius Empedocli tribuit *τραγικὸν τύφον*, quod ad nostrum hunc locum explicandum mirifice valet. *GED.*

8 Alteram illam dicit, quam secundo loco proposuerat (8. extr.) Hanc enim, quae hodieque mathematicis usitata est, silentio transiit Meno. *SCHLEIERM.*

9 Non habet hoc *ἔχειν* quo referatur in praecedentibus. Quare jungendum putaram olim sequenti *βελτίων*. Sed hoc per syntaxin non recte procedit. Nam scriptum oportebat, *Ἀλλ' οὐχ αὕτη*. Praestat igitur per anacoluthiam referre ad superius *ἀρέσκει σοι μᾶλλον*, quod idem est ac si dixisset *δοκεῖ σοι βελτίων*.

10 *Δόξαι ἄν* h. e. *ὅτι οὐδ' ἂν σοὶ δόξειεν*.

11 Lu-

ἔλεγες, ἀναγκαῖόν σοι ἀπιέναι πρὸ τῶν μυστηρίων, ἀλλ' εἰ
p.77. περιμείναις τε καὶ μυηθείης [11]. MEN. Ἀλλὰ περιμένοιμ' ἄ. ἂν, ὦ Σώκρατες, εἰ μοι πολλὰ τοιαῦτα λέγοις. ΣΩ. Ἀλλὰ μὴν προθυμίας γε οὐδὲν ἀπολείψω καὶ σοῦ ἕνεκα καὶ ἐμαυτοῦ λέγων τοιαῦτα· ἀλλ' ὅπως μὴ [12] οὐχ οἷός τ' ἔσομαι πολλὰ τοιαῦτα λέγειν. Ἀλλ' ἴθι δή, πειρῶ καὶ σὺ ἐμοὶ τὴν 10
ὑπόσχεσιν ἀποδοῦναι, καθ' ὅλου εἰπὼν ἀρετῆς πέρι, ὅ,τι ἐστί· καὶ παῦσαι πολλὰ ποιῶν ἓκ τοῦ ἑνὸς, ὅπερ φασὶ τοὺς συντρίβοντός τι ἑκάστοτε οἱ σκώπτοντες [1], ἀλλὰ ἐάσας ὅλην καὶ ὑγιᾶ, εἰπὲ, τί ἐστιν ἀρετή. τὰ δέ γε παραδείγματα παρ' ἐμοῦ εἴληφας. MEN. Δοκεῖ τοίνυν μοι, ὦ Σώκρατες, ἀρετὴ b.
εἶναι, καθάπερ ὁ ποιητὴς λέγει, χαίρειν τε καλοῖσι καὶ δύνασθαι [2]. καὶ ἐγὼ τοῦτο λέγω ἀρετὴν, ἐπιθυμοῦντα τῶν καλῶν δυνατὸν εἶναι πορίζεσθαι. ΣΩ. Ἆρα λέγεις τὸν τῶν καλῶν ἐπιθυμοῦντα ἀγαθῶν ἐπιθυμητὴν εἶναι; MEN. Μάλιστά γε. ΣΩ. Ἆρα, ὡς ὄντων τινῶν, οἳ τῶν κακῶν ἐπι- c.
θυμοῦσιν, ἑτέρων δὲ, οἳ τῶν ἀγαθῶν [3]; οὐ πάντες, ὥριστε, δοκοῦσί σοι τῶν ἀγαθῶν ἐπιθυμεῖν; MEN. Οὐκ ἔμοιγε. ΣΩ. Ἀλλά τινες τῶν κακῶν; MEN. Ναί. ΣΩ. Οἰόμενοι τὰ κακὰ ἀγαθὰ εἶναι, λέγεις, ἢ καὶ γιγνώσκοντες ὅτι κακά ἐστιν ὅμως ἐπιθυμοῦσιν αὐτῶν; MEN. Ἀμφότερα ἔμοιγε δοκεῖ. ΣΩ. Ἦ γὰρ δοκεῖ τίς σοι, ὦ Μένων, γιγνώσκων τὰ κακὰ ὅτι κακά ἐστιν, ὅμως ἐπιθυμεῖν αὐτῶν; MEN. Μά-

11 Ludit Socrates in comparatione cum *mysteriis*. Ita in Sympos. p. 209. e. *ταῦτα μὲν οὖν τὰ ἐρωτικὰ ἴσως κἂν σὺ μυηθείης*. Jam cum Meno Thessalus dixisset pridie Socrati, abeundum sibi esse ex Attica ante mysteriorum celebrationem; Socrates haec ejus verba ad alterum illum sensum facete transfert. Sensus igitur est: *Credo me tibi persuasurum, meam figurae definitionem meliorem esse* hac coloris definitione; *nisi abeundum tibi est forte, priusquam te hoc edocere queam, teque hac veritate quasi initiare; quod fiet, si adhuc morari volueris*. GED.

12 Vid. Ind. *μή*.

1 Nimirum jocosa est *εὐφημία* in consolationem quasi ejus qui aliquid comminuit, multiplicasse eum quod unum antea fuerit.

2 *Λύνασθαι* in his Lyrici alicujus, ut videtur, verbis haud dubie valebat *potentem esse*, qua significatione potestas *τοῦ πορίζεσθαι*, comprehenditur. Cf. 11. init. — Mox in his *λέγω ἀρετὴν* Vind. et Ven. 2 inserunt *εἶναι*.

3 Ficinus interserit: „*Men.* Immo." Male.

4 Male

λιστα, ΣΩ. Τί ἐπιθυμεῖν, λέγεις; [4] ἢ γενέσθαι αὐτῷ; ΜΕΝ. Γενέσθαι· τί γὰρ ἄλλο; ΣΩ. Πότερον ἡγούμενος τὰ κακὰ ὠφελεῖν ἐκεῖνον ᾧ ἂν γένηται, ἢ γιγνώσκων τὰ κακὰ ὅτι βλάπτει, ᾧ ἂν παρῇ; ΜΕΝ. Εἰσὶ μὲν οἳ ἡγούμενοι τὰ κακὰ ὠφελεῖν, εἰσὶ δὲ καὶ οἳ γιγνώσκοντες ὅτι βλάπτει. ΣΩ. Ἦ καὶ δοκοῦσί σοι γιγνώσκειν τὰ κακὰ ὅτι κακά ἐστιν, οἱ ἡγούμενοι τὰ κακὰ ὠφελεῖν; ΜΕΝ. Οὐ πάνυ μοι δοκεῖ τοῦτό γε. ΣΩ. Οὐκοῦν δῆλον, ὅτι οὗτοι μὲν οὐ τῶν κακῶν ἐπιθυμοῦσιν, οἱ ἀγνοοῦντες αὐτὰ, ἀλλὰ ἐκείνων ἃ ᾤοντο ἀγαθὰ εἶναι. ἔστι δὲ ταῦτά γε κακά. ὥστε οἱ ἀγνοοῦντες αὐτὰ, καὶ οἰόμενοi ἀγαθὰ εἶναι, δῆλον ὅτι [5] τῶν ἀγαθῶν ἐπιθυμοῦσιν. ἢ οὔ; ΜΕΝ. Κινδυνεύουσιν οὗτοί γε. ΣΩ. Τί δαί; οἱ τῶν κακῶν μὲν ἐπιθυμοῦντες, ὡς φῂς σὺ, ἡγούμενοι δὲ τὰ κακὰ βλάπτειν ἐκεῖνον, ᾧ ἂν γίγνηται, γιγνώσκουσι δήπου, ὅτι βλαβήσονται ὑπ' αὐτῶν; ΜΕΝ. Ἀνάγκη. ΣΩ. Ἀλλὰ τοὺς βλαπτομένους οὗτοι οὐκ οἴονται ἀθλίους εἶναι, καθόσον βλάπτονται; ΜΕΝ. Καὶ τοῦτο ἀνάγκη. ΣΩ. Τοὺς δὲ ἀθλίους οὐ κακοδαίμονας; ΜΕΝ. Οἶμαι ἔγωγε. ΣΩ. Ἔστιν οὖν, ὅστις βούλεται ἄθλιος καὶ κακοδαίμων εἶναι; ΜΕΝ. Οὔ μοι δοκεῖ, ὦ Σώκρατες. ΣΩ. Οὐκ ἄρα βούλεται, ὦ Μένων, τὰ κακὰ οὐδείς, εἴπερ μὴ βούλεται τοιοῦτος εἶναι. τί γὰρ ἄλλο ἐστὶν ἄθλιον εἶναι, ἢ ἐπιθυμεῖν τε τῶν κακῶν καὶ κτᾶσθαι [6]; ΜΕΝ. Κινδυνεύεις ἀληθῆ λέγειν, ὦ Σώκρατες, καὶ οὐδεὶς βούλεσθαι [7] τὰ κακά. ΣΩ. Οὐκοῦν νῦν δὴ ἔλεγες, ὅτι ἔστιν ἡ ἀρετὴ, βούλεσθαί τε τἀγαθὰ καὶ δύνασθαι; ΜΕΝ. Εἶπον γάρ.

d. e. f. g. 11 p. 78.

4 Male olim junxeram, *τί λέγεις, ἐπιθυμεῖν;* ut, quod sequitur, definitio esset *τοῦ ἐπιθυμεῖν*: quae tamen justa non foret. Et sic plane interceptum esset verbum *ἡγούμενος* ab illo *δοκεῖ τις ἐπιθυμεῖν*. Nunc sicut ceteri jungo *τί ἐπιθυμεῖν*, ut ad istud *τί* statim referatur infinitivus *γενέσθαι*. Symp. p. 204. e. *ὃ ἐρῶν τῶν ἀγαθῶν τί ἐρᾷ; Γενέσθαι αὐτῷ.* Sic autem levis hic admissa est anacoluthia. Nam insertum illud *λέγεις* non facile expleas nisi accusativum subjecti addendo ad infinitivum *ἐπιθυμεῖν*: neque minus tamen in proximis sermo continuatur per nominativum *ἡγούμενος*, qui se applicat superioribus *δοκεῖ τις σοι γιγνώσκων — ἐπιθυμεῖν*;

5 V. Ind. *δηλονότι*.

6 Particulam *τε* codd. omnes praebuerunt, qua elegantior simul et plenior efficitur haec definitionis illius de virtute parodia.

7 Sic Bé. cum Clark. et Vat. Vulg. *βούλεται*.

1 Schleier-

ΣΩ. Οὐκοῦν τούτου λεχθέντος, τὸ μὲν βούλεσθαι πᾶσιν ὑπάρχει [1], *καὶ ταύτῃ γε οὐδὲν ὁ ἕτερος τοῦ ἑτέρου βελτίων; MEN. Φαίνεται. ΣΩ. Ἀλλὰ δῆλον, ὅτι εἴπερ ἐστὶ βελτίων ἄλλος ἄλλου, κατὰ τὸ δύνασθαι ἂν εἶη ἀμείνων. MEN. Πάνυ γε. ΣΩ. Τοῦτ' ἔστιν ἄρα, ὡς ἔοικε, κατὰ* b. *τὸν σὸν λόγον ἀρετὴ, δύναμις τοῦ πορίζεσθαι ταγαθά. MEN. Παντάπασί μοι δοκεῖ, ὦ Σώκρατες, οὕτως ἔχειν, ὡς σὺ νῦν ὑπολαμβάνεις. ΣΩ. Ἴδωμεν δὴ καὶ τοῦτο, εἰ ἀληθὲς λέγεις. ἴσως γὰρ ἂν εὖ λέγοις. τὸ ταγαθὰ* [2] *φῂς οἵόντ' εἶναι πορίζεσθαι, ἀρετὴν εἶναι; MEN. Ἔγωγε. ΣΩ. Ἀγαθὰ δὲ καλεῖς οὐχὶ οἷον ὑγίειάν τε καὶ πλοῦτον; καὶ* c. *χρυσίον λέγω καὶ ἀργύριον κτᾶσθαι, καὶ τιμὰς ἐν πόλει καὶ ἀρχάς. μὴ ἄλλ' ἅττα λέγεις ταγαθὰ ἢ τὰ τοιαῦτα; MEN. Οὐκ· ἀλλὰ πάντα λέγω τὰ τοιαῦτα. ΣΩ. Εἶεν. χρυσίον δὲ δὴ καὶ ἀργύριον πορίζεσθαι, ἀρετή ἐστιν, ὡς φησι Μένων, ὁ τοῦ μεγάλου βασιλέως πατρικὸς ξένος* [3]. *πότερον* d. *προστίθης τι τούτῳ τῷ πόρῳ, ὦ Μένων, τὸ δικαίως καὶ ὁσίως* [4]*; ἢ οὐδέν σοι διαφέρει; ἀλλὰ κἂν ἀδίκως τις αὐτὰ*

1 Schleiermacher inserendum olim censuerat *τοῦ* post *τούτου*, ut ab hoc genitivo penderet partitio *τὸ μὲν κ. τ. ε.* Nunc vero in vulgata, qui est genitivus consequentiae, acquiescendum putavit: *Ist nun dieses gesagt, so kommt das Wollen allen zu u. s. w.* Ego priorem rationem etiamnum praefero.

2 Be. cum codd. plurimis omisit articulum *τό*. Servant eum Vind. et Ven. uterque. In Clark. insertus est a manu posteriori. Ego mirer, quemquam sponte illum inseruisse.

3 Regem Persarum *κατ' ἐξοχὴν* dici *μέγαν βασιλέα*, notum est; quare facete Plato de Leg. 3, post Cyrum in Persia nullum fuisse dicit regem magnum, nisi solo nomine. Hospitium autem Menonis Thessali cum rege Persarum, cum *πατρικὸς ξένος* ejus vocetur ille, cum majoribus ejus factum esse potuit, quo tempore *Xerxes* bellum Graeciae inferret. In hoc enim bello adjutum eum esse a *Thessalis* notum est; quin testibus Herodoto (7, 6) et Pausania (7, 10) ipsi Aleuadae, de quibus supra diximus, et ad quos non ipse quidem Meno, sed amicus tamen illius Aristippus (vid. §. 1.) pertinebat, prodiderant Xerxi Thessaliam. In Xenophontis Anabasi Aristippus dicitur hospes ipsius Cyri (1, 1, 10), Meno autem pluribus locis (e. g. 2, 1, 5) hospes Ariaei. *GED.*

4 Si vocula *τὶ* non vacat, ut certe durus videtur hic fore illius pleonasmus, sensus erit: Utrum addis aliquid huic comparandi rationi? videlicet, juste etc. Perperam autem in praecedentibus editt. [et in duobus codd. Paris.] *τοῦτο* pro *τούτῳ*, sicut et Ficinus legit, post *τὶ* scriptum est.

πορίζηται, ὁμοίως σὺ αὐτὰ [5] ἀρετὴν καλεῖς; MEN. Οὐ δήπου, ὦ Σώκρατες, ἀλλὰ κακίαν. ΣΩ. Πάντως δήπου δεῖ ἄρα, ὡς ἔοικε, τούτῳ τῷ πόρῳ δικαιοσύνην ἢ σωφροσύνην ἢ ὁσιότητα προσεῖναι, ἢ ἄλλο τι μόριον ἀρετῆς· εἰ δὲ μή, οὐκ ἔσται ἀρετή, καίπερ ἐκπορίζουσα τἀγαθά. MEN. Πῶς
c. γὰρ ἄνευ τούτων ἀρετὴ γένοιτ' ἄν; ΣΩ. Τὸ δὲ μὴ ἐκπορίζειν χρυσίον καὶ ἀργύριον, ὅταν μὴ δίκαιον ᾖ, μήτε αὐτῷ, μήτε ἄλλῳ, οὐκ ἀρετὴ καὶ αὕτη ἐστὶν ἡ ἀπορία; MEN. Φαίνεται. ΣΩ. Οὐδὲν ἄρα μᾶλλον ὁ πόρος τῶν τοιούτων ἀγαθῶν, ἢ ἡ ἀπορία, ἀρετὴ ἂν εἴη· ἀλλά, ὡς ἔοικεν, ὃ μὲν ἂν μετὰ δικαιοσύνης γίγνηται, ἀρετὴ ἔσται, ὃ δ' ἂν ἄνευ παντων τῶν τοιούτων, κακία. MEN. Δοκεῖ μοι ἀνα- p. 79.
12 γκαῖον εἶναι, ὡς λέγεις. ΣΩ. Οὐκοῦν τούτων ἕκαστον ὀλίγον πρότερον μόριον ἀρετῆς ἔφαμεν εἶναι, τὴν δικαιοσύνην καὶ σωφροσύνην καὶ πάντα τὰ τοιαῦτα; MEN. Ναί. ΣΩ. Εἶτα, ὦ Μένων, παίζεις πρός με. MEN. Τί δή, ὦ Σώκρατες; ΣΩ. Ὅτι ἄρτι ἐμοῦ δεηθέντος σου, μὴ καταγνύναι μηδὲ κερματίζειν [1] τὴν ἀρετὴν, καὶ δόντος παραδείγματα, καθ' ἃ δέοι ἀποκρίνεσθαι, τούτου μὲν ἠμέλησας, λέγεις δέ μοι, ἅτι ἀρετή ἐστιν, οἷόντ' εἶναι τἀγαθὰ πορίζεσθαι μετὰ δικαιοσύνης· τοῦτο δὲ φῂς μόριον ἀρετῆς εἶναι [2]. MEN.
b. Ἔγωγε. ΣΩ. Οὐκοῦν συμβαίνει, ἐξ ὧν σὺ ὁμολογεῖς, τὸ μετὰ μορίου ἀρετῆς πράττειν ὅτι ἂν πράττῃ [3], τοῦτο ἀρετὴν εἶναι. τὴν γὰρ δικαιοσύνην μόριον φῂς ἀρετῆς εἶναι,

est. Sic et paulo post legitur τούτῳ τῷ πόρῳ. Alioqui suspicarer, scripsisse Platonem τὶ τοιοῦτο. *STEPH.* At vel sic dura foret omissio vocis οἷον. Quare acquiescendum in vulgata, in qua haec τὸ δικ. κ. ο. adjecta sunt ad explicationem vocularum τί. Cf. infra §. 13. καὶ σὺ δοκεῖς μοι νῦν ἐμὲ τοιοῦτόν τι πεποιηκέναι, ναρκᾶν.

5 An αὐτό? *SCHNEID.*

1 Coisl. et Paris. C. κατακερμ. et mox pro καθ' ἃ Coisl. καθ' ἅπερ.

2 Cum tale quid admittitur, est *circulus* in definiendo. *BIE.*

3 Sic omnes codd. nisi quod aliquot eorum πράττοι. Vulgata ante Be., πράττῃς, erat ex male sedulâ correctione. Quippe Graeci post Infinitivum pendentem a persona indefinita, tertiam personam ponunt ubi Latini fere secundam. Vid. Gramm. §. 116. Obs. 6. et infr. §. 38. a. Crit. 10. d. In pleniori sermone ad πράττῃ subjectum poneretur sive τὶς sive participium ejusdem verbi, hic ὁ πράττων.

4 Ver-

καὶ ἕκαστα τούτων. ΜΕΝ. Τί οὖν δὴ τοῦτο λέγω [4]; ΣΩ. Ὅτι ἐμοῦ δεηθέντος, ὅλην εἰπεῖν τὴν ἀρετὴν, αὐτὴν μὲν πολ- c.
λοῦ δεῖς [5] εἰπεῖν ὅτι ἔστι, πᾶσαν δὲ φῂς πρᾶξιν ἀρετὴν εἶ-
ναι, ἐφ' ἅπερ μετὰ μορίου ἀρετῆς πράττηται, ὥσπερ εἰρηκὼς
ὅτι ἀρετή ἐστι τὸ ὅλον, καὶ ἄδη γνωσομένου ἐμοῦ, καὶ ἐὰν
σὺ κατακερματίζῃς αὐτὴν κατὰ μόρια. δεῖ οὖν σοι πάλιν ἐξ d.
ἀρχῆς, ὡς ἐμοὶ δοκεῖ, τῆς αὐτῆς ἐρωτήσεως, ὦ φίλε Μένων,
τί ἐστιν ἀρετὴ, εἰ μετὰ μορίου ἀρετῆς πᾶσα πρᾶξις ἀρετὴ
ἂν εἴη [6]; τοῦτο γάρ ἐστι λέγειν, ὅταν λέγῃ τις, ὅτι πᾶσα
ἡ μετὰ δικαιοσύνης πρᾶξις ἀρετή ἐστιν. ἢ οὐ δοκεῖ σοι πά-
λιν δεῖσθαι τῆς αὐτῆς ἐρωτήσεως; ἀλλ' οἴει τινὰ εἰδέναι
μόριον ἀρετῆς, ὅτι ἔστιν, αὐτὴν μὴ εἰδότα; ΜΕΝ. Οὐκ
ἔμοιγε δοκεῖ. ΣΩ. Εἰ γὰρ καὶ μέμνησαι, ὅτ' ἐγώ σοι ἄρτι e.
ἀπεκρινάμην περὶ τοῦ σχήματος, ἐπεβάλλομέν που τὴν τοι-
αύτην ἀπόκρισιν, τὴν διὰ τῶν ἔτι ζητουμένων καὶ μήπω
ὁμολογημένων ἐπιχειροῦσαν ἀποκρίνεσθαι [7]. ΜΕΝ. Καὶ

4 Verba *Τί — λέγω*; *Heusdius* Socrati sibi ipsi statim respondenti tribuit, talibus exemplis nixus qualia sunt Protag. p. 343. d. *Τοῦ δὴ ἕνεκα ταῦτα λέγω*; *ὅτι οὗτος ὁ τρόπος ἦν τῶν παλαιῶν τῆς φιλοσοφίας*· et ex hoc ipso dialogo §. 39. *πρὸς τί οὖν δὴ λέγω ταῦτα*; *πρὸς τὰς δόξας τὰς ἀληθεῖς*. Contra quem *Schleiermacher* observat, hoc non fieri nisi ubi applicatio facienda sit propositionis alicujus, quae primo aspectu nihil ad rem facere videatur. Hoc autem hujus loci non esse. Ipse igitur legendum olim proponebat: *Τί οὖν δή, εἰ τοῦτο λέγω*; Nunc vulgatam ita explicandam censet: *τί οὖν δὴ ὃν τοῦτο λέγω*; Mihi nunc persuasum est ita distinguendum esse. *ΜΕΝ. Τί οὖν δή*; *ΣΩ. Τοῦτο λέγω, ὅτι ἐμοῦ δεηθέντος κ. τ. λ.* Cratyl. p. 398. a. *ΕΡΜ. Τί οὖν δή*; *ΣΩ. Ὅτι οἶμαι ἐγὼ λέγειν αὐτὸν κ. τ. ε.* ubi ante *ὅτι* mente supplendum est *τοῦτο λέγω*. Gorg. p. 497. d. *—νῦν δὲ οὐχ ὁμολογᾷς*; *ΚΑΛ. Ἔγωγε. τί οὖν δή*; *ΣΩ. Ὅτι οὐ ταὐτὰ γίγνεται κ. τ. ε.* unde apparet, nostro loco *Ἔγωγε* sive qualemcunque affirmandi formulam ante *τί οὖν δή*; mente supplendam esse. Conf. Gorg. 151. e.

5 Sic pro *δεῖ* scripsi praeeuntibus Codd. Ven. $\overline{\text{Σ}}$ et Vat. 2. — Paulo ante pro *ὅλην* codd. opt. et plur. miro consensu *ὅλον*.

6 Ita nunc Be. pro vulgato *ἢ μετὰ μ.* e Ficino (*siquidem — sit*) et e cod. Par. F in quo *εἰ* suprascriptum. Pars codicum *ἡ*: unde feceris *εἰ ἡ μετὰ μ. α. πᾶσα πρᾶξις*, quod ad linguae rationem necessarium videbatur Struvio, mihi cum isto *πᾶσα* non item. Cave autem optativum cum *ἄν* pendere putes ab illo *εἰ*. Nam etiam absolute hic dici poterat, *πᾶσα πρᾶξις μετὰ μ. α. ἀρετὴ ἂν εἴη*.

7 Ne admittatur, quod logicis dicitur *petitio principii* *BIE*. De voce *ποῦ* v. Ind.

8 Ver-

f. ὀρθῶς γε ἀπεβάλλομεν, ὦ Σώκρατες. ΣΩ. Μὴ τοίνυν, ὦ ἄριστε, μηδὲ σὺ, ἔτι ζητουμένης ἀρετῆς ὅλης ὅ,τι ἐστὶν, οἷον διὰ τῶν ταύτης μορίων ἀποκρινόμενος δηλώσειν αὐτὴν ὁτῳοῦν, ἢ ἄλλο ὁτιοῦν τούτῳ τῷ αὐτῷ τρόπῳ λέγων, ἀλλὰ πάλιν τῆς αὐτῆς δεήσεσθαι ἐρωτήσεως [8], τίνος ὄντος ἀρετῆς λέγεις, ἃ λέγεις [9]. ἢ οὐδέν σοι δοκῶ λέγειν; MEN. 13 Ἔμοιγε δοκεῖς ὀρθῶς λέγειν. ΣΩ. Ἀπόκριναι τοίνυν πάλιν ἐξ ἀρχῆς· τί φῂς ἀρετὴν εἶναι, καὶ σὺ καὶ ὁ ἑταῖρός σου; MEN. Ω Σώκρατες, ἤκουον μὲν ἔγωγε, πρὶν καὶ συγγενέσθαι σοι, ὅτι σὺ οὐδὲν ἄλλο ἢ αὐτός τε ἀπορεῖς καὶ τοὺς ἄλλους ποιεῖς ἀπορεῖν· καὶ νῦν, ὡς γ' ἐμοὶ δοκεῖς, γοητεύεις με καὶ φαρμάττεις καὶ ἀτεχνῶς κατεπάδεις, ὥστε μεστὸν b. ἀπορίας γεγονέναι. καὶ δοκεῖς μοι παντελῶς, εἰ δεῖ τι καὶ σκῶψαι, ὁμοιότατος εἶναι, τό,τε εἶδος καὶ τἆλλα, ταύτῃ τῇ πλατείᾳ νάρκῃ τῇ θαλαττίᾳ [1]. καὶ γὰρ αὕτη τὸν ἀεὶ πλη- p. 80.

8 Verbum *δεῖσθαι* vera sua significatione, quae est *opus habere*, aliter hic stare nequit nisi subaudiendo *ἐκεῖνον* ad illud *ὁτῳοῦν* relatum; quod tamen magnopere displicet, cum nil appareat quod ad inconcinnam istam structuram compulerit scriptorem. Jam cum memorabilia verborum *δεῖν* et *δεῖσθαι* a librariis confusorum exempla prostent apud Schaefer. ad Dionys. de Constr. 56. et Sturzium in *δεῖσθαι* sub num. 2. inque his aliquot, quae admodum suspensum te habeant, ipsine potius scriptori hanc significationum permutationem, in aliis verbis satis obviam, in hoc quoque tribuas: de eo quidem exploratum mihi nunc est, sensum ejus quod est *opus esse* hic dedisse scriptorem: sed utrum *δεήσεσθαι* ita intelligendum, an *δεήσειν* corrigendum sit, dubitari potest. Quanquam ego in posteriorem inclino rationem, videns supra (d.) in ipsa primaria verbi forma, *δεῖ οὖν σοι πάλιν — ἐρωτήσεως* Clark. et Vat. dare *δεῖται οὖν*.

9 Egregia graeci sermonis brevitas. „Quid eam virtutem esse dicis, cui ea quae dicis, conveniant." *GED.* Signum tamen interrogationis non ponendum post *λέγεις*; obliqua enim est interrogatio pendens ab illo *δεήσεσθαι*. — Ex eo autem, quod supra habes, *ἐκεῖνο ὃ τυγχάνει οὖσα ἀρετή*, cave in nostrum quoque locum pro *ὄντος* intrudas *οὔσης*. Nam ita infra quoque §. 23. ubi post illa *εἰ ἔστιν ἐπιστήμη ἀρετή* — infertur mox: *Ὅτι τοιοῦδε μὲν ὄντος* (sc. *αὐτοῦ*) *διδακτόν*. Alc. I. 24. d. *Πῶς οὖν λέγεις περὶ ἀνδρίας; ἐπὶ πόσῳ ἂν αὐτοῦ δέξαιο στέρεσθαι*. Adde quae aptiora etiam affert Heindorfius ad Hipp. maj. 43. imprimis illud e libro 1. de Rep. p. 336. a. *ἐπειδὴ δὲ οὐδὲ τοῦτο ἐφάνη ἡ δικαιοσύνη οὖσα —*. Nec minus huc facit illud, quod male tentabat Stephanus, infra §. 28. *οὗτοι φανερὰ ἔσται λώβη*.

1 Hujus piscis vim, qua torporem attingenti injicit, eleganter describit Oppianus *Ἁλιευτ.*

σιάζοντα καὶ ἁπτόμενον ναρκᾶν ποιεῖ· καὶ σὺ δοκεῖς μοι νῦν ἐμὲ τοιοῦτόν τι πεποιηκέναι, ναρκᾶν. ἀληθῶς γὰρ ἔγωγε καὶ τὴν ψυχὴν καὶ τὸ στόμα [2] ναρκῶ, καὶ οὐκ ἔχω ὅ,τι ἀποκρίνωμαί σοι. καίτοι μυριάκις γε περὶ ἀρετῆς παμπόλλους λόγους εἴρηκα, καὶ πρὸς πολλοὺς, καὶ πάνυ εὖ, ὡς γε ἐμαυτῷ ἐδόκουν· νῦν δὲ οὐδ' ὅ,τι ἐστὶ τοπαράπαν ἔχω εἰπεῖν. καί μοι δοκεῖς εὖ βουλεύεσθαι οὐκ ἐκπλέων ἐνθένδε, οὐδ' ἀποδημῶν. εἰ γὰρ ξένος ἐν ἄλλῃ πόλει τοιαῦτα ποιοῖς [3], τάχ' ἂν ὡς γόης ἀπαχθείης [4]. ΣΩ. Πανοῦργος εἶ, ὦ Μένων, καὶ ὀλίγου ἐξηπάτησάς με. ΜΕΝ. Τί μάλιστα, ὦ Σώκρατες; ΣΩ. Γιγνώσκω, οὗ ἕνεκά με εἴκασας. ΜΕΝ. Τίνος δὴ οἴει; ΣΩ. Ἵνα σε ἀντεικάσω. ἐγὼ δὲ τοῦτο οἶδα περὶ πάντων τῶν καλῶν, ὅτι χαίρουσιν εἰκαζόμενοι· λυσιτελεῖ γὰρ αὐτοῖς· καλαὶ γάρ, οἶμαι, τῶν καλῶν καὶ αἱ c. d.

λιευτ. 2, 56 — 85, et 3, 149 seqq. et Claudianus Epigr. 3. Vid. et Aristot. Hist. Animal. 9, 37. Aelianus de N. A. 1, 36. 9, 14. Antigonus Caryst. 43. Plutarch. de sollert. anim. — Plinius H. N. 32, 1: *torpedo etiamsi procul et e longinquo, vel si hasta virgave attingatur, quamvis praevalidi lacerti torpescunt,* et 9, 42: *novit torpedo vim suam ipsa non torpescens,* cet. *GED.* Physicis notissimus piscis, nunc dictus *Raja torpedo*, praecipue invenitur in mari Mediterraneo. Vis ejus electrica et torpedinem efficit, et subitaneum gravem impulsum. Cujus virtutis plus etiam inest alii pisci, qui dicitur *Gymnotus electricus*, et provenit Surinama. *BIE.*

2 Hanc pro vulgato *σῶμα* varietatem cum Ficino praebent codd. opt. et plurimi, quam Ullrichio quoque probatam fidenter nunc repono. Nam vulgarissima illa animi et corporis distinctio in magna vocabulorum illorum similitudine non potuit non intrare invito scriptore textum: contra *ςόμα* pro *σῶμα*, si hoc primitus scriptum fuisset nemo certe librarius intulisset. Optime autem eam hic corporis partem nominat Plato in quam solam animi ille torpor, quem significat Meno, transire debuit. Qui si de toto hoc corpore praedicaret ridicule nimius videretur.

3 Sic pro *ποιεῖς* e plerisque nunc codd. editur.

4 Ἀπάγειν simpliciter dictum saepissime significat ad judicium vel in custodiam rapere. Demosth. p. 431, 7. *ἐπειδὰν δὲ ὁμολογοῦσιν, ἀπάγειν δήπου προσῆκεν.* Lysias contr. Agorat. *λωποδύτην ἀπήγαγε.* Pollux 8, 9, 102. *περὶ τῶν ἕνδεκα, — ἐπεμελοῦντο τῶν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἀπήγαγον κλέπτας. GED.* Schol. ad h. l. *ὡς κακοῦργος παραδοθείς εἰς τὸ δεσμωτήριον.* Plenas formulas habes e. g. in Gorg. p. 486. a. *εἰς τὸ δεσμωτήριον ἀπάγοι:* ubi vid. Heind. Aeschin. c. Timarch. p. 159. *τὸν ξένον πρὸς τὸν ἄρχοντα ἀπήγαγεν.*

5 Vide-

e. εἰκόνες [5]. ἀλλ' οὐκ ἀντεικάσομαί σε. ἐγὼ δὲ, εἰ μὲν ἡ νάρκη αὐτὴ ναρκῶσα οὕτω [6] καὶ τοὺς ἄλλους ποιεῖ ναρκᾶν, ἔοικα αὐτῇ· εἰ δὲ μὴ, οὔ. οὐ γὰρ εὐπορῶν αὐτὸς, τοὺς ἄλλους ποιῶ ἀπορεῖν [7]· ἀλλὰ παντὸς μᾶλλον αὐτὸς ἀπορῶν οὕτω καὶ τοὺς ἄλλους ποιῶ ἀπορεῖν. καὶ νῦν περὶ ἀρετῆς, ὅ ἐστιν, ἐγὼ μὲν οὐκ οἶδα· σὺ μέντοι ἴσως πρότερον μὲν ἤδησθα, πρὶν ἐμοῦ ἅψασθαι [8]· νῦν μέντοι ὅμοιος εἰ οὐκ εἰδότι· ὅμως δὲ ἐθέλω μετὰ σοῦ σκέψασθαι καὶ συζη-
14 τῆσαι, ὅ,τι ποτέ ἐστι [9]. *MEN.* Καὶ τίνα τρόπον ζητήσεις, ὦ Σώκρατες, τοῦτο, ὃ μὴ οἶσθα τοπαράπαν, ὅ,τι ἐστί; ποῖον [1] γὰρ ὧν οὐκ οἶσθα προθέμενος, ζητήσεις; ἢ, εἰ καὶ ὅτι μάλιστα ἐντύχοις αὐτῷ, πῶς εἴσει [2] ὅτι τοῦτό ἐστιν
b. ὃ σὺ οὐκ ἤδησθα; *ΣΩ. Μανθάνω*, οἷον βούλει λέγειν, ὦ *Μένων*. ὁρᾷς τοῦτον ὡς ἐριστικόν λόγον κατάγεις [3]; ὡς οὐκ

5 Videtur Meno et pulcher fuisse, et amatores plures habuisse; vid. supra §. 9. [it. pag. 3.] Cum autem de pulchritudine formae hic loquatur Socrates, ipseque Meno supra dixerit: τό τε εἶδος καὶ τἆλλα, videtur Meno in comparatione Socratis cum torpedine additoque epitheto τῇ πλατείᾳ, respexisse simul ad formam capitis Socratis, quod ipsi erat grandius longiusque, et Silenum referebat, ut apud veteres legitur, et ipse saepius jocatus est. Quippe Meno toties refutatus, iram simul cum dolore concepit, neque abstinet a dicteriis. Quod tamen mirum quam aeque fert Socrates, hilarique ac jucunda respondet ironia. *BIE.*

6 V. Gramm. §. 131. Obs. 6.

7 Ut ἀπορεῖν de haesitante ac dubitante dicitur, ita εὐπορεῖν de eo, qui certam alicujus rei scientiam habet. Qua ratione saepius has voces inter se opponit Plato; e. g. in Phaedone p. 84. c. εἰ ἀπορεῖτον, μηδὲν ἀποκνήσητε καὶ ἐμὲ ξυμπαραλαβεῖν, εἴ τι μᾶλλον οἴεσθε μετ' ἐμοῦ εὐπορήσειν. Ita et adjectivo εὔπορος utitur ibid. p. 86. d. εἴ τις οὖν ὑμῶν εὐπορώτερος ἐμοῦ, τί οὐκ ἀπεκρίνατο; *GED.*

8 Respicitur hoc verbo comparatio cum torpedine.

9 Quod Socrates hic promittit, non praestat impeditus postea ab ipso Menone, quaerente semel et iterum de alia re, postremo fastidiente hanc disquisitionem de eo, quid sit virtus, et properante ad priorem illam, num possit addisci. *BIE.*

1 Coisl. ὁποῖον.

2 Formam in ει hic praebuerunt optimi Clark. et Vat.

3 *Nimium probat* argumentandi haec ratio, quam a Sophistis accepit Meno, et qua mire sibi placere videtur. *BIE.*

Verbi κατάγειν nullam quae quidem aliquando satisfacere possit rationem hic reddere possum. Nam comparatio cum filo quod nendo *deducitur*,

ἄρα ἐξὶ ζητεῖν ἀνθρώπῳ, οὔτε ὃ οἶδεν, οὔτε ὃ μὴ οἶδεν. οὔτε γὰρ ἂν γε, ὃ οἶδε, ζητοῖ [4]*· οἶδε γὰρ, καὶ οὐδὲν δεῖ τῷγε τοιούτῳ ζητήσεως· οὔτε, ὃ μὴ οἶδεν· οὐδὲ γὰρ οἶδεν, ὅτι ζητήσει. MEN. Οὐκ οὖν καλῶς σοι δοκεῖ λέγεσθαι ὁ*
p. 81. *λόγος οὗτος, ὦ Σώκρατες; ΣΩ. Οὐκ ἔμοιγε. MEN. Ἔχεις λέγειν ὅπη; ΣΩ. Ἔγωγε. ἀκήκοα γὰρ ἀνδρῶν τε καὶ γυναικῶν σοφῶν περὶ τὰ θεῖα πράγματα· MEN. Τίνα λόγον λεγόντων; ΣΩ. Ἀληθῆ, ἔμοιγε δοκεῖν, καὶ καλόν. MEN. Τίνα τοῦτον; καὶ τίνες οἱ λέγοντες; ΣΩ. Οἱ μὲν λέγοντές* d. *εἰσι τῶν ἱερέων τε καὶ τῶν ἱερειῶν, ὅσοις μεμέληκε* [5]*, περὶ ὧν μεταχειρίζονται, λόγον οἵοιστ' εἶναι διδόναι. λέγει δὲ καὶ Πίνδαρος, καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν, ὅσοι θεῖοί εἰσιν. ἃ δὲ λέγουσι, ταυτί ἐξιν. ἀλλὰ σκόπει, εἴ σοι δοκοῦσιν ἀληθῆ λέγειν. φασὶ γὰρ τὴν ψυχὴν τοῦ ἀνθρώπου εἶναι ἀθάνατον· καὶ τοτὲ μὲν τελευτᾷν· ὃ δὴ ἀποθνήσκειν καλοῦσι· τοτὲ δὲ πάλιν γίγνεσθαι· ἀπόλλυσθαι δ' οὐδέποτε. δεῖν δὴ διὰ ταῦτα ὡς ὁσιώτατα διαβιῶναι τὸν βίον.* e. *„Οἷσι γὰρ* [6] *ἂν Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος δέξε-*

citur, de tam brevi sermone, locum non habet. Quare vide an Plato scripserit *παράγεις*. Ficin. *in medium adduxisti*. Demosth. c. Androt. p. 594, 13 *πλάττων καὶ παράγων πρὸς ἕκαστα τούτων κακοῦργους λόγους*. Infra Alcib. II. 17. *παράγων τὸ κακῶς* „utens verbo *κακῶς*".

4 Stobaeus, qui haec et sequentia exscripsit, serm. 41, legit: *οὔτε γὰρ ἂν, ὅγε οἶδε, ζητεῖ*. Melius omnino *ὅγε*, sed deterius *ζητεῖ*. *GED.* Coisl. *γε* plane omittit.

5 Pro *μεμέληκε* apud Stob. vitiose exstat *μεμελέτηκε*, et ante *ὁσιώτατα* omissum ibi *ὡς*. *GED.* Paulo ante *τῶν* ante *ἱερειῶν* om. Paris. B F. Recte.

6 Fragmentum hoc ad Pindari Threnos refert *Schneider* in *Carm. Pindaricor. Fragment.* p. 24. (p. 37. Ed. nov.) Idem in *Versuch über Pindars Leben und Schriften*, p. 53 seqq. fusius de hoc loco disputat, et alios consimiles ejusdem poëtae locos de immortalitate excutit, ac simul ostendit, unde Pindarus Pythagorica ista dogmata haurire potuerit. [Adde *Boeckh.* in Fragm. Pind. num. 98. p. 623.] De hac ipsa vero purgationis et migrationis animorum doctrina disserit *Heynius* ad Virgil. Aen. 6, 735 seqq. tum in notis, tum in excursu p. 664 seqq. — Pro novem annis, quos Pindarus hic constituit, Platonem ipsum alibi, e. g. in Phaedr. p. 249. b. mille annos constituere, notum est. *GED.*

Variantes lectiones. Cod. Ven. uterque et Stob. l. c. *δέξηται*. Pro *ἐκ τῶν* Stob. cum Vind. et Ven. Σ *ἐκ τῶν*, Clark. *ἐκτὰν*, Paris. F in marg. *ἐς τὰν*: Ficinus legisse videtur

ἔς'

„ται, εἰς τὸν ὑπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτει ἀνδιδοῖ ψυ-
„χὰν πάλιν. ἐκ τῶν βασιλῆες ἀγαυοὶ, καὶ σθένει κραιπνοὶ
„σοφίᾳ τε μέγιστοι ἄνδρες αὔξονται· ἐς δὲ τὸν λοιπὸν χρό-
„νον ἥρωες ἁγνοὶ πρὸς ἀνθρώπων καλεῦνται." Ἅτε οὖν ἡ
ψυχὴ ἀθάνατός τε οὖσα, καὶ πολλάκις γεγονυῖα, καὶ ἑωρα-
κυῖα καὶ τὰ ἐνθάδε καὶ τὰ ἐν ᾅδου καὶ πάντα χρήματα [1],
οὐκ ἔστιν ὅ,τι οὐ μεμάθηκεν. ὥστε οὐδὲν θαυμαστὸν, καὶ περὶ
ἀρετῆς καὶ περὶ ἄλλων οἷόντε εἶναι αὐτὴν ἀναμνησθῆναι [2],
b. ἅ γε καὶ πρότερον ἠπίστατο [3]. ἅτε γὰρ τῆς φύσεως ἁπάσης συγγενοῦς οὔσης, καὶ μεμαθηκυίας τῆς ψυχῆς ἅπαντα, οὐδὲν κωλύει, ἓν μόνον ἀναμνησθέντα, ὃ δὴ μάθησιν καλοῦσιν ἄνθρωποι, τἆλλα πάντα αὐτὸν ἀνευρεῖν, ἐάν τις ἀν-
δρεῖος ᾖ, καὶ μὴ ἀποκάμῃ ζητῶν. τὸ γὰρ ζητεῖν ἄρα καὶ
c. τὸ μανθάνειν, ἀνάμνησις ὅλον ἐστίν. οὐκ οὖν δεῖ πείθεσθαι [4] τούτῳ τῷ ἐριστικῷ λόγῳ. οὗτος μὲν γὰρ ἂν ἡμᾶς ἀργοὺς ποιήσειε, καὶ ἐς τοῖς μαλακοῖς τῶν ἀνθρώπων ἡδὺς ἀκοῦσαι. ὅδε δὲ ἐργατικούς [5] τε καὶ ζητητικοὺς ποιεῖ. ᾧ ἐγὼ

ἕς᾽ ἂν — αὔξωνται, habet enim *quousque in reges — evadant.* — Boeckhius nihil magnopere mutat nisi quod pro ψυχάν rescripsit ψυχάς. Quod nisi a viro lyrici sermonis peritissimo factum esset; paulo confidentius pronuntiarem, singulare ψυχάν respiciens illud κείνων, et femininum plurale τᾶν relatum ad ψυχάν, Pindarum me judice non dedecere. Plenus sermo: κείνων ἐνάτῳ ἀεὶ ἔτει ψυχάν ἑκάστου ἀνδιδοῖ.

Οἷς ἂν δέξεται, antiquior sermo pro παρ᾽ ὧν ἂν δέξηται. Vid. Il. β, 186. δέξατό οἱ σκῆπτρον πατρώϊον: ο, 88. Θέμιςι δὲ δέκτο δέπας. — De aliis consule indicem.

1 Accedo Struvio ultimum καὶ damnanti.

2 „Fieri posse, ut illa reminiscatur." Poterat scribere οἵηπερ, sed tum non posuisset, puto, αὐτήν.

3 Saepius hanc opinionem Socrati tribuit Plato, ut in Phaedone p. 72. e. ubi Cebes, ὦ Σώκρατες, ait, εἶωθας θαμὰ λέγειν, ὅτι ἡμῖν ἡ μάθησις οὐκ ἄλλο τι ἢ ἀνάμνησις τυγχάνει οὖσα, καὶ κατὰ τοῦτο ἀνάγκη που ἡμᾶς ἐν προτέρῳ τινὶ χρόνῳ μεμαθῆκέναι, ἃ νῦν ἀναμιμνησκόμεθα. κ. τ. λ. et in Phaedr. p. 249. c. τοῦτο δέ ἐστιν ἀνάμνησις ἐκείνων, ἃ ποτ᾽ εἶδεν ἡμῶν ἡ ψυχὴ συμπορευθεῖσα θεῷ. — ἀναμιμνήσκεσθαι δ᾽ ἐκ τῶνδε ἐκεῖνα, οὐ ῥᾴδιον ἅπασι etc. Conferendus autem ad dogma hoc de reminiscentia Cicero Tusc. I, 24. Boëthius in Consol. *Quod si Platonis Musa personat verum, Quod quisque discit, immemor recordatur.* GED.

4 E Parisinis C habet πέσθαι, E F ἔπεσθαι.

5 Vulg. ἐργαστικούς. Antiquiorem formam ex qua plurimis dedit Bekker.

6 No-

πιστεύων ἀληθεῖ εἶναι [6], ἐθέλω μετὰ σοῦ ζητεῖν, ἀρετὴ ὅ,τι ἐστί. ΜΕΝ. Ναὶ, ὦ Σώκρατες. ἀλλ' ἁπλῶς λέγεις [7] τοῦ- d.
το, ὅτι οὐ μανθάνομεν, ἀλλὰ ἣν καλοῦμεν μάθησιν ἀνάμνησίς ἐστιν; ἔχεις με τοῦτο διδάξαι ὡς οὕτως ἔχει; ΣΩ. Καὶ ἄρτι εἶπον, ὦ Μένων, ὅτι πανοῦργος εἶ, καὶ νῦν ἐρωτᾷς, εἰ ἔχω σε διδάξαι· ὃς οὐ φημι διδαχὴν εἶναι, ἀλλ' ἀνάμνη-
p. 82. σιν· ἵνα δὴ εὐθὺς φαίνωμαι αὐτὸς ἐμαυτῷ ταναντία λέγων. ΜΕΝ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐ πρὸς τοῦτο βλέψας εἶπον, ἀλλ' ὑπὸ τοῦ ἔθους. ἀλλ' εἴ πώς μοι ἔχεις ἐν- e.
δείξασθαι, ὅτι ἔχει ὥσπερ λέγεις, ἔνδειξαι. ΣΩ. Ἀλλ' ἔστι μὲν οὐ ῥᾴδιον· ὅμως δὲ ἐθέλω προθυμηθῆναι, σοῦ ἕνεκεν. ἀλλά μοι προσκάλεσον [8] τῶν πολλῶν ἀκολούθων τουτωνὶ τῶν σαυτοῦ ἕνα, ὁντινα βούλει. ἵνα ἐν τούτῳ σοι ἐπιδείξωμαι. ΜΕΝ. Πάνυ γε. Δεῦρο πρόσελθε. ΣΩ. Ἕλλην μέν ἐστι [9], καὶ ἑλληνίζει; ΜΕΝ. Πάνυ γε σφόδρα, οἰκογενής. ΣΩ. Πρόσεχε δὴ τὸν νοῦν, ὁπότερ' ἄν σοι φαίνηται, ἢ ἀναμιμνησκόμενος, ἢ μανθάνων παρ' ἐμοῦ. ΜΕΝ. Ἀλλὰ προσέξω.

ΣΩ. Εἰπὲ [1] δή μοι, ὦ παῖ, γιγνώσκεις τετράγωνον 16

6 Notanda constructio composita e duabus aliis, *πιστεύω τούτῳ* et *πιστεύω, τοῦτον εἶναι ἀληθῆ*. Accedit per attractionem dativus *ἀληθεῖ*, quem pro vulg. *ἀληθῆ* ex optimis codd. assumpsit Bekker.

7 Stob. pro *ἀλλ' ἁπλ. λ.* habet: *ἀλλὰ πῶς λέγεις*. Non prorsus incommode. Codicum scripturae sensus est: Num id ita dicis, ut nulli exceptioni locus sit? Hanc enim vox *ἁπλῶς* vim saepius apud Nostrum habet, e. g. in Phaed. p. 103. c. *συνωμολογήκαμεν ἁπλῶς τοῦτο GED.* Vid. Heind. ad Phaedr. 47. Gorg. 53.

8 Cod. Vind. *προσκάλεσαι*, quod quin praeferam obstat non *μοί* hic additum: usitatior enim est forma hujus verbi media in omni et structura et sensu: sed auctoritas codicum. — Mox pro vulg. *τουτωῖ*, cujus hic locus prorsus non erat, Be. e codd. reposuit *τούτῳ*.

9 *Μέν* in interrogatione sic usurpatum affirmationem alterius exspectat; *opinor, haud dubie*. Vid. Charmid. 2. Eurip. Med. 674. Pors. Monuit hoc, sua ad Charmidae locum retractans, Heindorfius. Differt autem haec interrogandi forma ab illa per *πού* eo quod *πού* in re aliunde satis certa alterius assensum exspectat, istud *μέν* autem aliquid ut consentaneum et necessarium poscit.

1 Incipit elegans episodium, quod exemplar praebet *μαιευτικῆς τέχνης* Socratis. Maxima illius fuit sollertia atque ars in eo, ut notiones obscuras, quae in hominibus quasi dormiunt, excitaret, clariores-

que

χωρίον ὅτι τοιοῦτόν ἐστι; ΠΑΙΣ ΜΕΝΩΝΟΣ. Ἔγωγε. ΣΩ. Ἔστιν οὖν τετράγωνον χωρίον, ἴσας ἔχον τὰς γραμμὰς ταύτας πάσας, τέτταρας οὔσας; ΠΑΙ. Πάνυ γε. ΣΩ. Οὐ καὶ ταυτασὶ τὰς διὰ μέσου [2] ἐστὶν ἴσας ἔχον; ΠΑΙ. Ναί. ΣΩ. Οὐκοῦν εἴη ἂν τοιοῦτον χωρίον καὶ μεῖζον καὶ ἔλατ-
b. τον; ΠΑΙ. Πάνυ γε. ΣΩ. Εἰ οὖν εἴη αὕτη ἡ πλευρὰ δυοῖν ποδοῖν, καὶ αὕτη δυοῖν· πόσων ἂν εἴη ποδῶν τὸ ὅλον; ὧδε δὲ σκόπει. εἰ ἦν ταύτῃ [3] δυοῖν ποδοῖν, ταύτῃ δὲ ἑνὸς ποδὸς μόνον, ἄλλο τι ἅπαξ ἂν ἦν δυοῖν ποδοῖν τὸ χωρίον [4]; ΠΑΙ. Ναί. ΣΩ. Ἐπειδὴ δὲ δυοῖν ποδοῖν καὶ ταύτῃ, ἄλλο τι ἡ δὶς δυοῖν γίγνεται; ΠΑΙ. Γίγνεται. ΣΩ. Δυοῖν ἄρα δὶς γίγνεται ποδῶν. ΠΑΙ. Ναί. ΣΩ. Πόσοι οὖν εἰσιν οἱ δύο δὶς πόδες, λογισάμενος εἰπέ. ΠΑΙ. Τέτ-
c. ταρες, ὦ Σώκρατες. ΣΩ. Οὐκοῦν γένοιτ' ἂν τούτου τοῦ χωρίου ἕτερον διπλάσιον, τοιοῦτον δὲ, ἴσας ἔχον πάσας τὰς γραμμὰς ὥσπερ τοῦτο; ΠΑΙ. Ναί. ΣΩ. Πόσων οὖν ἔσαι ποδῶν; ΠΑΙ. Ὀκτώ. ΣΩ. Φέρε δή, πειρῶ μοι εἰπεῖν, πηλίκη τις ἔσαι ἐκείνου ἡ γραμμὴ ἑκάστη. ἡ μὲν γὰρ τοῦδε, δυοῖν ποδοῖν· τί δαὶ [5] ἡ ἐκείνου τοῦ διπλασίου; ΠΑΙ.

que efficeret. Ipse dixit *artem obstetriciam*, ludens simul in arte, qua victum quaesiverat mater. Saepius hoc occurrit apud Platonem, clarissime in Theaeteto p. 148. e. 150. b. [Schleiermacheri de hoc episodio sententia paulo diversa cognosci potest e nota ejus, quam damus ad §. 17 extr.] Putandus autem Socrates ambulans figuras, de quibus loquebatur cum puero Menonis, in arena, uti mos erat veterum, delineasse. *BIE.*

2 Non de linea, quam *diagonalem* dicunt, sermo est; sed de alia quae ex altero latere ad oppositum alterum per medium quadratum ducitur. Delineatur enim quadratum majus, divisum in quattuor minora, ut videre est in figura appicta §pho 17.; loquitur autem nunc quidem Socr. de majori illo quadrato. *BIE.*

3 Vulgatam εἰ ἐν ταύτῃ sensu destitutam omnes tamen codices servant. Ficinus veram scripturam in codice invenerit, an sicut F. A. Wolfius conjectura assecutus sit, non dicam. Vertit certe: „Si latus hoc duorum *esset pedum* —". Emendationem certissimam diutius a textu arcere nefas esset.

4 De ἄλλο τι vid. Ind. Voculam ἡ pauci hic codd. inserunt. Paulo post in eadem formula omnes eam servant. Bekker tamen constantiae causa utrobique omisit.

5 Hic etiam δαί a codd. optimis Vat. et Clark. oblatum spernere, ob simplicem quam exercet oppositionem, noli.

Δῆλον δὴ, ὦ Σώκρατες, ὅτι διπλασία. ΣΩ. Ὁρᾷς, ὦ Μένων, ὡς ἐγὼ τούτων [6] οὐδὲν διδάσκω, ἀλλ' ἐρωτῶ πάντα; d.
καὶ νῦν οὗτος οἴεται εἰδέναι ὁποία ἐςὶν, ἀφ' ἧς τὸ ὀκτώπουν [7] χωρίον γενήσεται. ἢ οὐ δοκεῖ σοι; ΜΕΝ. Ἔμοιγε.
ΣΩ. Οἶδεν οὖν; ΜΕΝ. Οὐ δῆτα. ΣΩ. Οἴεται δέ γε, ἀπὸ τῆς διπλασίας; ΜΕΝ. Ναί. ΣΩ. Θεῶ δὴ αὐτὸν ἀναμιμνησκόμενον ἐφεξῆς, ὡς δεῖ ἀναμιμνήσκεσθαι. Σὺ δέ μοι 17
λέγε, ἀπὸ τῆς διπλασίας γραμμῆς φῇς τὸ διπλάσιον χωρίον
p. 83. γίγνεσθαι; τοιόνδε λέγω· μὴ ταύτῃ μὲν μακρὸν, τῇ δὲ βραχὺ, ἀλλὰ ἴσον πανταχῇ ἔςω ὥσπερ τουτὶ, διπλάσιον δὲ τούτου ὀκτώπουν. ἀλλὰ ὅρα, εἰ ἔτι σοι ἀπὸ τῆς διπλασίας δοκεῖ ἔσεσθαι. ΠΑΙ. Ἔμοιγε. ΣΩ. Οὐκοῦν διπλασία b.
αὕτη ταύτης γίγνεται, ἂν ἑτέραν τοσαύτην προσθῶμεν ἐνθένδε [1]; ΠΑΙ. Πάνυ γε. ΣΩ. Ἀπὸ ταύτης δὴ, φῄς, ἔςαι τὸ ὀκτώπουν χωρίον, ἂν τέτταρες τοσαῦται γένωνται; ΠΑΙ. Ναί. ΣΩ. Ἀναγραψώμεθα δὴ ἀπ' αὐτῆς ἴσας τέτταρας. ἄλλο τι ἢ τουτὶ ἂν εἴη, ὃ φῄς τὸ ὀκτώπουν εἶναι; ΠΑΙ. Πάνυ γε. ΣΩ. Οὐκοῦν ἐν αὐτῷ ἐςι ταυτὶ τέτταρα, ὧν c.
ἕκαςον ἴσον τούτῳ ἐςὶ τῷ τετράποδι; ΠΑΙ. Ναί. ΣΩ. Πόσον οὖν γίγνεται; οὐ τετράκις τοσοῦτον; ΠΑΙ. Πῶς δ', οὔ; ΣΩ. Διπλάσιον οὖν ἐςι τὸ τετράκις τοσοῦτον; ΠΑΙ. Οὐ μὰ Δία. ΣΩ. Ἀλλὰ ποσαπλάσιον; ΠΑΙ. Τετραπλάσιον. ΣΩ. Ἀπὸ τῆς διπλασίας ἄρα, ὦ παῖ, οὐ διπλάσιον, ἀλλὰ τετραπλάσιον γίγνεται χωρίον. ΠΑΙ. Ἀληθῆ λέγεις. ΣΩ. Τεττάρων γὰρ τετράκις ἐςὶν ἑκκαίδεκα [2]. οὐχί; ΠΑΙ.

noli. Nam sic alibi quoque e. g. Cratyl. p. 394. d. Τοῖς μὲν δὴ κατὰ φύσιν γιγνομένοις τὰ αὐτὰ ἀποδοτέον ὀνόματα. Πάνυ γε. Τί δαὶ τοῖς παρὰ φύσιν —;

6 Optimi sane codd. Vat. et Clark. cum duobus aliis praebent hodie quod olim desiderabat Schleiermacher, τοῦτον. Tamen vulgatam, quae Ficini, et Coisl. (qui habet οὐδὲν τούτων) auctoritate nititur, mutandam non duximus: quoniam melius coëunt haec, τούτων οὐδὲν — ἀλλὰ πάντα, quam τοῦτον et repetitum statim οὗτος. Neque in talibus, quale est τούτων, τοῦτον, vel optimorum codicum aliqua esse putanda est auctoritas.

7 Ita hic et in sequentibus codices. Vulgo ὀκτάπουν.

1 Cave corrigendum credas ἐνθάδε. Ita enim solent Graeci; nec minus Latini, qui eodem modo dicunt *ab hac parte*. Vide paullo post καὶ ἐνθένδε ὡσαύτως.

2 Ad τεττάρων et ad ἑκκαίδεκα mente supplendum ποδῶν χωρίον. Alias genitivus unde pendeat non habebit.

d. *Ναί. ΣΩ. Ὀκτώπουν δ' ἀπὸ ποίας γραμμῆς; οὐχὶ ἀπὸ μὲν ταύτης τετραπλάσιον; ΠΑΙ. Φημί. ΣΩ. Τέταρτον* [3] *δὲ ἀπὸ τῆς ἡμισείας* [4] *ταυτησὶ τουτί; ΠΑΙ. Ναί. ΣΩ. Εἶεν. τὸ δὲ ὀκτόπουν, οὐ τοῦδε μὲν διπλάσιόν ἐστι, τούτου δὲ ἡμισυ; ΠΑΙ. Πάνυ γε* [5]. *ΣΩ. Οὐκ ἀπὸ μείζονός ἔσται ἢ τοσαύτης γραμμῆς, ἀπὸ ἐλάττονος δὲ ἢ τοσησδί; ἢ οὔ; ΠΑΙ. Ἔμοιγε δοκεῖ οὕτω. ΣΩ. Καλῶς· τὸ γὰρ σοὶ δοκοῦν, τοῦτο ἀποκρίνου. καί μοι λέγε· οὐχ ἥδε μὲν δυοῖν*
e. *ποδοῖν ἦν, ἡ δὲ τεττάρων; ΠΑΙ. Ναί. ΣΩ. Δεῖ ἄρα τὴν τοῦ ὀκτώποδος χωρίου γραμμὴν μείζω μὲν εἶναι τῆσδε τῆς δίποδος, ἐλάττω δὲ τῆς τετράποδος. ΠΑΙ. Δεῖ. ΣΩ. Πειρῶ δὴ λέγειν, πηλίκην τινὰ φῂς αὐτὴν εἶναι. ΠΑΙ. Τρίποδα. ΣΩ. Οὐκοῦν ἄνπερ τρίπους ᾖ, τὸ ἥμισυ ταύτῃ προσλῃψόμεθα, καὶ ἔσαι τρίπους; δύο μὲν γὰρ οἵδε, ὁ δὲ εἷς. καὶ ἐνθένδε ὡσαύτως· δύο μὲν οἵδε, ὁ δὲ εἷς. καὶ*
f. *γίγνεται τοῦτο τὸ χωρίον, ὃ φῂς. ΠΑΙ. Ναί. ΣΩ. Οὐκοῦν, ἂν ᾖ τῇδε τριῶν καὶ τῇδε τριῶν, τὸ ὅλον χωρίον τριῶν τρὶς ποδῶν γίγνεται; ΠΑΙ. Φαίνεται. ΣΩ. Τρεῖς δὲ τρὶς πόσοι εἰσὶ πόδες; ΠΑΙ. Ἐννέα. ΣΩ. Ἔδει δὲ τὸ διπλάσιον πόσων εἶναι ποδῶν; ΠΑΙ. Ὀκτώ. ΣΩ. Οὐδ' ἄρα ἀπὸ τῆς τρίποδος πω τὸ ὀκτώπουν χωρίον γίγνεται. ΠΑΙ. Οὐ δῆτα. ΣΩ. Ἀλλ' ἀπὸ ποίας, πειρῶ ἡμῖν εἰπεῖν*

3 Gedikius putabat *τέταρτον* dici posse quadratum A b c d ut quarta pars quadrati A B C D. Sed cum *τετράπλάσιον* hic dictum sit non nisi respectu minoris quadrati, posterius hoc in eadem orationis serie quarta pars ita absolute dici non potest. Quare unice vera est Cornarii emendatio, *τετράπουν*.



4 Codices optimi et plurimi nunc firmant id quod ex inscriptione Attica collegi et exposui in nota ad Gramm. ampl. §. 62. Obs. 1., femininum vocis *ἥμισυς* apud antiquiores Atticos fuisse forma ionica *ἡμίσεα* gen. *ἡμισείας*. Id in aliquibus codd. mutatum hic fuit in formam consuetam *ἡμισείας*, in aliis in *ἡμίσεως*, quod olim corrigebam ita, *ἡμίσεος*, ut generis communis.

5 Istud *πάνυ γε* omnes omittunt praeter Vind. et Ven. Σ.

6 Non

p. 84. ἀκριβῶς. καὶ εἰ μὴ βούλει ἀριθμεῖν, ἀλλὰ δεῖξον ἀπὸ ποίας. ΠΑΙ. Ἀλλὰ μὰ τὸν Δία, ὦ Σώκρατες, ἔγωγε οὐκ οἶδα. ΣΩ. Ἐννοεῖς αὖ, ὦ Μένων, οὗ ἐξιν ἤδη βαδί- 18
ζων ὅδε τοῦ ἀναμμνήσκεσθαι [1]; ὅτι τὸ μὲν πρῶτον, ἤδει μὲν οὔ, ἦτις ἐξὶν ἡ τοῦ ὀκτώποδος χωρίου γραμμή, ὥσπερ οὐδὲ νῦν πω οἶδεν· ἀλλ' οἴεται γ' αὐτὴν [2] τότε εἰδέναι, καὶ θαρραλέως ἀπεκρίνετο, ὡς εἰδώς, καὶ οὐχ ἡγεῖτο ἀπορεῖν· νῦν δὲ ἡγεῖται ἀπορεῖν ἤδη, καὶ ὥσπερ οὐκ οἶδεν, οὐδ' οἴεται εἰδέναι. ΜΕΝ. Ἀληθῆ λέγεις. ΣΩ. Οὐκοῦν b.
νῦν βέλτιον ἔχει περὶ τὸ πρᾶγμα ὃ οὐκ ἤδει; ΜΕΝ. Καὶ τοῦτό μοι δοκεῖ. ΣΩ. Ἀπορεῖν οὖν αὐτὸν ποιήσαντες, καὶναρκᾶν ὥσπερ ἡ νάρκη, μῶν τι ἐβλάψαμεν; ΜΕΝ. Οὐκ ἔμοιγε δοκεῖ. ΣΩ. Προὔργου γοῦν τι πεποιήκαμεν, ὡς ἔοικε, πρὸς τὸ ἐξευρεῖν ὅπη ἔχει. νῦν μὲν γὰρ καὶ ζητήσειεν ἂν ἡδέως, οὐκ εἰδὼς· τότε δὲ ῥᾳδίως ἂν καὶ πρὸς πολλοὺς καὶ πολλάκις ᾤετ' ἂν εὖ λέγειν περὶ τοῦ διπλασίου χωρίου, ὡς δεῖ διπλασίαν τὴν γραμμὴν ἔχειν μήκει [3]. ΜΕΝ. Ἔοικεν. ΣΩ. Οἴει οὖν ἄν αὐτὸν πρότερον ἐπιχειρῆσαι ζητεῖν c.
ἢ μανθάνειν τοῦτο, ὃ ᾤετο εἰδέναι, οὐκ εἰδὼς, πρὶν εἰς ἀπορίαν κατέπεσεν, ἡγησάμενος μὴ εἰδέναι, καὶ ἐπόθησε τὸ εἰδέναι; ΜΕΝ. Οὔ μοι δοκεῖ, ὦ Σώκρατες. ΣΩ. Ὤνητο [4] ἄρα ναρκήσας. ΜΕΝ. Δοκεῖ μοι. ΣΩ. Σκέψαι δὴ, ἐκ ταύτης τῆς ἀπορίας ὅτι [5] καὶ ἀνευρήσει ζητῶν μετ' ἐμοῦ,

6 Non hic tantum sed per totum hoc episodium tam manifesto ministrat puero notiones Socrates, ut de propria earum generatione, quam nonnisi juvet arte obstetricia, cogitari non possit. Neque haec mens est Socratis, qui hoc tantum agit, ut ex *facilitate*, qua notiones a puero perspiciantur, demonstret eas non nunc demum animo ejus inseri. *SCHLEIERM.*

1 Genitivus τοῦ ἀναμ. pendet ab οὗ (quo reminiscentiae): Viden' quos in recordando progressus fecerit? *GED.* Sed proba videtur C. D. Beckii emendatio οἷ pro οὗ. Dem. Olynth. 3. p. 42, 25. ὁρᾶτε — οἳ προελήλυθεν ἀσελγείας ἄνθρωπος. Et cf. ad 34. a.

2 Sic Be. ex Vat. et Clark. Vulgo ᾠετο ταύτην.

3 Leviter perstringit Menonem, qui antea §. 13. dixerat, se *saepissime et ad multos* de virtute locutum esse. *GED.*

4 Forma Atticis etiam scriptoribus praelata, v. Phryn. p. 6. (12.), Herodianus Piersoni p. 451.

5 Schleierm. scribendum putat ὅ,τι, quod non tam ob defectum accusativi in vulgata

οὐδὲν ἄλλ' ἢ ἐρωτῶντος ἐμοῦ καὶ οὐ [6] διδάσκοντος. φύλαττε δὲ, ἄν που εὖῃς με διδάσκοντα καὶ διεξιόντα αὐτῷ,
19 ἀλλὰ μὴ τὰς τούτου [7] δόξας ἀνερωτῶντα. Λέγε γάρ μοι σύ· οὐ τὸ μὲν τετράπουν τοῦτο ἡμῖν ἔχει χωρίον; μανθάνεις; ΠΑΙ. Ἔγωγε. ΣΩ. Ἕτερον δὲ αὐτῷ προσθεῖμεν ἂν τουτὶ ἴσον; ΠΑΙ. Ναί. ΣΩ. Καὶ τρίτον τόδε ἴσον ἑκατέρῳ τούτων; ΠΑΙ. Ναί. ΣΩ. Οὐκοῦν προσαναπληρωσαίμεθ' ἂν τὸ ἐν τῇ γωνίᾳ τόδε [1]; ΠΑΙ. Πάνυ γε. ΣΩ. Ἄλλο τι οὖν γένοιτ' ἂν τέτταρα ἴσα χωρία τάδε; ΠΑΙ. Ναί. ΣΩ. Τί οὖν; τὸ ὅλον τόδε ποσαπλάσιον τοῦδε γίγνεται; ΠΑΙ. Τετραπλάσιον. ΣΩ. Ἔδει δὲ διπλάσιον ἡμῖν
b. γενέσθαι· ἢ οὐ μέμνησαι; ΠΑΙ. Πάνυ γε. ΣΩ. Οὐκοῦν ἔχει αὕτη ἡ γραμμὴ [2] ἐκ γωνίας εἰς γωνίαν τινὰ τέμνουσα

gata adoptaverim, quam ob conjunctionem ὅτι, cujus loco post σκέψαι requiri videtur potius ὡς.

6 Sic Be. e codd. Vulgo male μή.

7 Miro consensu codd. opt. et plur. τούτων: ut istud τούτου, quod displicet post illud αὐτῷ, videatur esse e correctione. An fuit olim τὰς περὶ τούτων δόξας? An recte habet δόξαι τούτων, atque explicandum eo quem indicavimus supra ad §. 7. not. 2. modo?

1 Socrates uni quadrato duo jam alia addiderat, hunc in modum:



Restabat ut et quartum ad angulum C adderet. *GED.* — Τόδε hic ut saepius est loco adverbii *hic*. Vid. Ind. ad Soph. Philoct. in ὅδε.

2 Articulum ἡ, monente Struvio, e legibus linguae inserui.

Ad haec et sequentia intelligenda Socrates hanc figuram delineasse putandus est:



Quaerit Socrates: ex qua et quanta linea nascatur quadratum medium inter quadrata A b c d et A B C D, quod nimirum altero tanto majus sit quam illud, et dimidio minus quam hoc. Interrogando puerum tandem eo adducit, ut agnoscat, nasci ejusmodi quadratum ex linea diagonali (vel, ut tunc loqui etiam solebant, e diametro) b c. Quadratum enim b c e f, ex hac linea constructum, altero tanto majus esse quam qua-

p. 43. ΣΩΚΡΑΤΗΣ. Τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρὼ [1] ἔτι ἐςί; ΚΡΙΤΩΝ. Πάνυ μὲν οὖν. ΣΩ. Πηνίκα μάλιςα; ΚΡ. Ὄρθρος βαθύς. ΣΩ. Θαυμάζω ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμωτηρίου φύλαξ ὑπακοῦσαι [2]. ΚΡ. Ξυνήθης ἤδη μοί ἐςιν, ὦ Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾶν. καί τι καὶ εὐεργετεῖται ὑπ' ἐμοῦ [3]. ΣΩ. Ἄρτι δὲ b. ἥκεις ἢ πάλαι; ΚΡ. Ἐπιεικῶς πάλαι. ΣΩ. Εἶτα πῶς οὐκ εὐθὺς ἐπήγειράς με, ἀλλὰ σιγῇ παρακάθησαι; ΚΡ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐδ' ἂν αὐτὸς ἤθελον ἐν τοσαύτῃ τε ἀγρυπνίᾳ [4] καὶ λύπῃ εἶναι. ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω αἰσθανόμενος ὡς ἡδέως καθεύδεις, καὶ ἐπίτηδές σε οὐκ ἤγειρον, ἵνα ὡς ἥδιςα διάγῃς [5]. καὶ πολλάκις μὲν δὴ

1 Vulgo πρωΐ. Sed formam monosyllabam commendant Timaeus in v. et grammatici a Ruhnkenio ibi laudati, discrepantes tamen in accentu, flexo an acuto. Mihi etiamsi primitivi forma dubia sit, πρῶϊ an πρωΐ, in breviori tamen acutum commendat analogia pronominum νώ, σφώ quae fiunt e νῶϊ, σφῶϊ. Cf. quae in Lexilogo 17, 2. et in notis ibidem scripsimus de hac re et de ι subscr. Nam scriptura πρῴ erat eorum grammaticorum qui etymologiam ubique premerent, cum traditio (ἡ παράδοσις) iota istud omitteret. Cf. Etym. M. v. νώ.

2 Pro ἠθέλησε Coisl. Vind. et Angelic. ἤθελε quod aptius videtur. — Ὑπακούειν vid. in Indice.

3 Utrum ad sensum hic praestet, εὐεργετεῖται an εὐεργέτηται, de eo longus esse nolo. Mihi εὐεργετεῖται de Critone saepius ad Socratem visente et mercedulam custodi identidem porrigente aptissimum videtur. E codd. autem sane nonnisi Paris. E et a pr. manu B hanc scripturam exhibent, ceteri longe plurimi vel εὐεργέτηται vel εὐηργέτηται. Solus Clark. (qui comite suo Vat. Δ in Critone destitutus est) ita, εὐεργετῆται, sollemni lapsu, quem lectionis εὐεργέτηται fontem esse non dubito.

4 Sic Codd. omnes, praeter unum Ven. Ξ., qui cum vulgata τέ omittit: quod probum tamen est utique. Multa enim sunt exempla hujus particulae negligentius positae: quae hic post ἀγρυπνίᾳ locanda erat: vid. ad Men. 41.

5 Facillimum erat optativum reponere διάγοις, quem requirere videtur praecedens praeteritum. Sed cautius hic agen-

σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ εὐδαιμόνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστα ἐν τῇ νῦν παρεσώσῃ ξυμφορᾷ, ὡς ῥᾳδίως
c. αὐτὴν καὶ πρᾴως φέρεις. ΣΩ. Καὶ γὰρ ἄν, ὦ Κρίτων, πλημμελὲς εἴη, ἀγανακτεῖν τηλικοῦτον ὄντα, εἰ δεῖ ἤδη τελευτᾶν [6]. ΚΡ. Καὶ ἄλλοι, ὦ Σώκρατες, τηλικοῦτοι ἐν τοιαύταις ξυμφοραῖς ἁλίσκονται, ἀλλ' οὐδὲν αὐτοῖς ἐπιλύεται
d. ἡ ἡλικία τὸ μὴ οὐχὶ ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ [7]. ΣΩ. Ἔῤῥι ταῦτα [8]. ἀλλὰ τί δὴ οὕτω πρῲ ἀφῖξαι; ΚΡ. Ἀγγελίαν, ὦ Σώκρατες, φέρων χαλεπὴν, οὐ σοί, ὡς ἐμοὶ φαίνεται, ἀλλ' ἐμοὶ καὶ τοῖς σοῖς ἐπιτηδείοις πᾶσι καὶ χαλεπὴν καὶ βαρεῖαν· ἣν ἐγὼ, ὡς ἐμοὶ δοκῶ, ἐν τοῖς βαρύτατ' ἂν
e. ἐνέγκαιμι [9]. ΣΩ. Τίνα ταύτην; ἢ [10] τὸ πλοῖον ἀφῖκται ἐξ Δήλου [11], οὗ δεῖ ἀφικομένου τεθνάναι με; ΚΡ. Οὔτοι

agendum esse docebit Heindorfius ad Protag. 29. Vid. nos in Gramm. §. 126. Obs. 1. et Hermann. ad Vig. n. 350. ex cujus observatis illud huc maxime quadrat, conjunctivum post praeterita poni si res quae significatur eo, adhuc durat, velut hic desiderium Critonis, ut quam placidissime degat Socrates.

6 Notandum tironibus εἰ pro ὅτι post verbum ἀγανακτεῖν: vid. Gramm. §. 136.

7 Verbum medium ἐπιλύεσθαι sensu *relaxandi* (v. Schneid. in v.), *concedendi*, nondum quidem ex alio scriptore allatum est: sed firmatur glossis Hesychii et Suidae, quorum alter habet Ἐπιλυσαμένη, epitheton Ilithyiae, alter Ἐπιλυομένου, συγχωροῦντος. Formula autem τὸ μὴ οὐ, *quo minus*, satis hodie adstructa est: v. Herm. ad Viger. n. 265. p. 772. et in Museo Antiq. Studior. 1. p. 220. Adde Boeckhium in Platonis Minoëm et de Legg. p. 107. 108. ubi simul hic noster locus componitur cum simili usu verbi ἀπολύεσθαι itidem dativo juncti in de legg. 1. p. 637. c. ἅπασι τοῖς τοιούτοις — μία ἀπόκρισις ἀπολύεσθαι δοκεῖ τοῦ μὴ κακῶς ἔχειν ἀλλ' ὀρθῶς. Ubi non minus probum fuisset τὸ μή: sed verbo ἀπολύεσθαι aptior visus genitivus; cui, more Atticis sollemni, negligentius adjectum illud ἀλλ' ὀρθῶς. — Hactenus olim. Nunc ex optimo Clark. et aliquot aliis affertur scriptura οὑτοῦ, quam adoptavit Bekker. Mihi expositio Suidae συγχωροῦντος et comparatio loci e legibus et altera codicum pars dativum satis firmant: nam in tali variatione qualis est ᾧ, οὗ, vel optimorum eodd. parva est auctoritas.

8 Formula ἔῤῥι ταῦτα usurpatur ita, ut alibi εἶεν. FISCH.

9 Sic infra §. 14. ἐν τοῖς χαλεπώτατα διῆγον. Vid. supr. ad Men. 32. extr.

10 Tali ἤ, quod ut alibi valet *aut*, interrogatio latior corrigitur quasi et restringitur. V. supr. ad Men. 2. a.

11 De hac navi, quae Θεωρίς et Δηλιάς dicebatur, locus clas-

δὴ ἀφῖχθαι, ἀλλὰ ἄλλοθι μέν μοι ἥξειν τήμερον [12], ἐξ ὧν ἀπαγγέλλουσιν ἥκοντές τινες ἀπὸ Σουνίου καὶ καταλιπόντες ἐκεῖ αὐτό. δῆλον οὖν ἐκ τούτων τῶν ἀγγέλων, ὅτι ἥξει τήμερον, καὶ ἀνάγκη δὴ εἰσαύριον ἔζαι, ὦ Σώκρατες, τὸν βίον σε τελευτᾶν. ΣΩ. Ἀλλά, ὦ Κρίτων, τύχῃ ἀγαθῇ, εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ ἔστω. οὐ μέντοι οἶμαι ἥξειν
p. 44. αὐτὸ τήμερον. ΚΡ. Πόθεν τοῦτο τεκμαίρει [1]; ΣΩ. Ἐγώ 2 σοι ἐρῶ. τῇ γάρ που ὑστεραίᾳ δεῖ με ἀποθνήσκειν, ἢ ἥ ἂν ἔλθῃ τὸ πλοῖον. ΚΡ. Φασί γέ τοι δὴ οἱ τούτων κύριοι [2].

classicus est in Phaedon. init. ἔτυχε τῇ προτεραίᾳ τῆς δίκης (Socratis) ἡ πρύμνα ἐσεμμένη τοῦ πλοίου, ᾧ εἰς Δῆλον Ἀθηναῖοι πέμπουσι κατ' ἔτος. — τοῦτό ἐσι τὸ πλοῖον ὡς φασιν Ἀθηναῖοι, ἐν ᾧ Θησεύς ποτε εἰς Κρήτην τοὺς δὶς ἑπτὰ ἐκείνους ᾤχετο ἄγων, καὶ ἔσωσέ τε καὶ αὐτὸς ἐσώθη. τῷ οὖν Ἀπόλλωνι ηὔξαντο, ὡς λέγεται, τότε, εἰ σωθεῖεν, ἑκάσου ἔτους θεωρίαν ἀπάξειν εἰς Δῆλον· ἣν ἀεὶ καὶ νῦν ἔτι ἐξ ἐκείνου κατ' ἐνιαυτὸν τῷ θεῷ πέμπουσιν. ἐπειδὰν οὖν ἄρξωνται τῆς θεωρίας, νόμος ἐξὶν αὐτοῖς, ἐν τῷ χρόνῳ τούτῳ καθαρεύειν τὴν πόλιν, καὶ δημοσίᾳ μηδένα ἀποκτιννύναι, πρὶν ἂν εἰς Δῆλόν τε ἀφίκηται τὸ πλοῖον, καὶ πάλιν δεῦρο. V. et Xenoph. Memor. 4, 8, 2.

12 Haec si vera est scriptura, *μέν* additum est, quia reticetur *σαφῶς δ' οὐκ ἂν δισχυρισαίμην*: cui tamen rationi non immerito objectum est subsequens illud *δῆλον οὖν*. Verum reputanda simul lectio optimorum codd. Clark. Ven. *II*, Par. D, Tub. *δοκεῖν*, quam ex margine quoque antiquorum librorum in scholia sua Ruhnkenius rettulit ita: *Γράφεται καὶ, ἀλλὰ δοκεῖν*. Atqui hujus infinitivi nulla ratio est nisi totus locus ita scribatur, *ἀλλὰ, δοκεῖν μὲν ἐμοὶ, ἥξει τήμερον*: in qua sollemnissima formula *μέν* refertur ad *ἐμοί* nec quicquam offensionis habet. Praepositio *ἐξ* autem, sensu latino *secundum*, solet ipsi etiam rei quam quis demonstrat subjungi e. g. Demosth. c. Euerg. et Mn. p. 1160. *οὐ γάρ ἐσιν ἐν γένει σοι ἢ ἄνθρωπος ἐξ ὧν σὺ λέγεις*. Sane tautologia est in his *ἥξει τήμερον* et *δῆλον οὖν — ὅτι ἥξει τήμερον*: sed ea non minuitur infinitivo *ἥξειν*. — Mox pro *ἀγγέλων* Ven. *II — ἀγγελιῶν*.

1 Formam Atticam praebuerunt Clark. Ven. *II*, Vind.

2 Verba haec: *φασί — κύριοι*, Critoni tribuunt Ficinus et Cod. Vind. 2. atque sic recte nunc editur. Eoque jam ducebat vel solum superius *πού*, qua particula responsio alterius affirmativa provocatur; v. Ind. Eam autem affirmationem praebent voculae *γέ τοι δή* (v. Hoogev. 13, 6. §. 3.), quibus male vulgo praemittitur *δέ*, in nullo hodie codice inventum.

Κυρίους istis significari Undecimviros, notissimum Atheniensium magistratum Ullrichius observat allatis his locis: Phaedo. p. 59. e. *λύουσι γαρ, ἔφη, οἱ ἕνδεκα Σωκράτη καὶ παραγγέλλουσιν ὅπως ἂν τῇδε τῇ ἡμέρᾳ τελευτήσῃ*: et 85. b. *ἀλλὰ τούτου γε ἕνεκα λέγειν τε χρὴ καὶ ἐρωτᾶν, ὅτι*

b. ΣΩ. Οὐ τοίνυν τῆς ἐπιούσης ἡμέρας οἶμαι αὐτὸ ἥξειν, ἀλλὰ τῆς ἑτέρας. τεκμαίρομαι δὲ ἐκ τινος ἐνυπνίου, ὃ ἑώρακα ὀλίγον πρότερον [3] ταύτης τῆς νυκτός· καὶ κινδυνεύεις ἐν καιρῷ τινι οὐκ ἐγεῖραί με. ΚΡ. Ἦν δὲ δὴ τί τὸ ἐνύπνιον;

c. ΣΩ. Ἐδόκει τίς μοι γυνὴ προσελθοῦσα καλὴ καὶ εὐειδής, λευκὰ ἱμάτια ἔχουσα, καλέσαι με καὶ εἰπεῖν, Ὦ Σώκρατες,

Ἡματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἱκοιο [4].

ΚΡ. Ὡς ἄτοπον [5] τὸ ἐνύπνιόν, ὦ Σώκρατες. ΣΩ. Ἐναργὲς μὲν οὖν, ὡς γ' ἐμοὶ δοκεῖ, ὦ Κρίτων. ΚΡ. Λίαν γε,

3 ὡς ἔοικεν. Ἀλλ', ὦ δαιμόνιε Σώκρατες, ἔτι καὶ νῦν ἐμοὶ πείθου, καὶ σώθητι. ὡς ἐμοί, ἐὰν σὺ ἀποθάνῃς, οὐ μία ξυμφορά ἐστιν [1], ἀλλὰ χωρὶς μὲν τοῦ ἐξερῆσθαι τοιούτου ἐπιτηδείου, οἷον ἐγὼ οὐδένα μήποτε εὑρήσω [2], ἔτι

ἂν βούλησθε, ἕως ἂν οἱ Ἀθηναίων ἑῶσιν ἔνδεκα. De ipso autem hoc magistratu idem Ullrichius uberius et docte egit in appendice ad suam quattuor horum dialogorum interpretationem germanicam.

3 ὀλ. π. Ita loquitur, quod somnia post mediam noctem visa vera vulgo existimabantur. *DACERIUS.*

4 Versus est Homeri Il. *ι*, 363. ubi Achilles ipse loquens dicit ἱκοίμην. — Cicero Divin. 1, 25.: *Est apud Platonem Socrates, cum esset in custodia publica, dicens Critoni suo familiari, sibi post tertium diem esse moriendum: vidisse se in somnis pulchritudine eximia feminam, quae se nomine appellans diceret Homericum quendam ejusmodi versum:*

Tertia te Phthiae tempestas laeta locabit

— Recte autem Fischer monuit, patriam hic esse meliorem illam vitam, quam sperabat Socrates. Lambinus enim per *Phthiam* mortem et interitum significari putabat, spectata vi nominis, quod ei ortum videbatur a φθίνω vel φθίω. *GED.*

5 Vocula ὡς in optimis codd. Clark. et Ven. *II* a secunda manu addita est, in aliis item bonis deest omnino.

1 Ita legisse videtur jam Ficinus, qui vertit: *non una tantum calamitas imminet*: et ita est diserte in codd. Coisl. Ven. *Ξ* et al. Antea perperam legebatur: οὐδεμία ξυμφορά ἐστιν ἄλλη, ἀλλὰ χ. quae scriptura est in unico cod. Par. C. Alii libri (ut Clark.) habent οὐδεμία — ἀλλὰ χ., alii (ut Vind.) οὐ μία — ἄλλη χ., alii denique (ut Ven. *II*.) οὐδεμία — ἄλλη χ.

Mox τοῦ ἐξερ. est e certissima Sallieri conjectura. Libri omnes σοῦ ἐξ.

2 Margo Cod. Ven. *Ξ* habet: γρ. εὕρω, quod et ipsum legitimum est. Vid. Gramm. §. 126, 4. Monendi enim sunt tirones, istud οὐδένα μήποτε nasci ex negandi formula οὐ μή (v. Gramm. §. 135. Obs. 6.) quae fortius est illa quae fit duplicato οὐ, quaeque hic esset οὐδένα οὐδέποτε.

3 No-

δὲ [3] καὶ πολλοῖς δόξω, οἳ ἐμὲ καὶ σὲ μὴ σαφῶς ἴσασιν, ὡς οἷόστ' ὤν σε σώζειν, εἰ ἤθελον ἀναλίσκειν χρήματα, ἀμελῆσαι [4]. καίτοι τίς ἂν αἰσχίων εἴη ταύτης δόξα, ἢ δοκεῖν [5] b. χρήματα περὶ πλείονος ποιεῖσθαι ἢ φίλους; οὐ γὰρ πείσονται οἱ πολλοὶ ὡς σὺ αὐτὸς οὐκ ἠθέλησας ἀπιέναι ἐνθένδε ἡμῶν προθυμουμένων. ΣΩ. Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε Κρίτων, οὕτω τῆς τῶν πολλῶν δόξης μέλει; οἳ χὰρ ἐπιεικέστατοι, ὧν μᾶλλον ἄξιον φροντίζειν, ἡγήσονται αὐτὰ οὕτω πεπρᾶχθαι ὥσπερ ἂν πραχθῇ. ΚΡ. Ἀλλ' ὁρᾷς δὴ, ὅτι ἀνά- c. γκη, ὦ Σώκρατες, καὶ τῆς τῶν πολλῶν δόξης μέλειν. αὐτὰ δὲ δῆλα [6] τὰ παρόντα νυνὶ, ὅτι οἷοίτ' εἰσὶν οἱ πολλοὶ οὐ

3 Notanda haec conjunctio particularum *μὲν — δὲ —* in una propositione *χωρὶς μὲν τοῦ ἐστερῆσθαι ἔτι δὲ δόξω —*, qua duorum malorum cumulatio efficacius indicatur.

4 Stephanus et mss. aliquot, *ἀμελήσαιμι*, quod ob insolentiam structurae *δόξω ὡς ἀμελήσαιμι* rejectum est. Quod nunc editur est illud quidem ex optimis plurimisque. Sed non minorem sic offensionem parit vocula *ὡς* redundanter posita. Quam si jungas infinitivo (*ὡς — ἀμελῆσαι*), sunt quidem talis anacoluthiae exempla (vid. Matth. Gr. §. 538.), sed nonnisi post verbum quod aeque admittat et structuram per *ὡς* et alteram per Infinitivum. Participio autem vox *ὡς* neutiquam mihi quidem videtur jungi hic posse, quoniam structura tum esset *δόξω ἀμελῆσαί σε ὡς οἷόστε ὤν —*, et ita *ὡς* valeret *tanquam*, quod sententiam plane perverteret. Itaque fere relabor in vulgatam *ὡς — ἀμελήσαιμι*, quam Wolfius quoque servavit, ut post interjecta illa *οἳ — ἴσασιν* per anacoluthiam ita continuaverit sermonem scriptor quasi praecessisset *φήσουσι πολλοί*. Certe si omisso *ὡς* infinitivum serves, legitimam quidem habebis orationem, sed hiantem nescio quomodo ante illud *οἷόστε ὤν*. Cui malo medela quaerenda erat in anacoluthia. Verum in re adhuc dispicienda auctoritatem codicum sequi malui.

5 Forma loquendi anacoluthа, qua genitivo pronominis demonstrativi vel relativi, pendenti a comparativo, res ipsa quae ad explicandum pronomen additur, comparativo iterum adaptatur, et quidem per *ἤ*. Exempla quaere ap. Heind. ad Gorg. 120. unde haec transcribo: Theag. p. 127. b. *οὐκ ἔσθ' ὅ,τι τούτου μεῖζον ἂν ἐρμαῖον ἡγησαίμην ἢ εἰ οὗτος ἀρέσκοιτο τῇ σῇ συνουσίᾳ*. Lucian. Abdic. 1. *οὐ τί γένοιτ' ἂν ἀτοπώτερον ἢ θεραπεύειν ἑκ προστάγματος*.

6 Hanc codicum omnium lectionem Stephanus e Cornarii conjectura mutaverat in *δηλοῖ*. Fischer primus antiquam reduxit, vocem *δῆλα* explicans per *δηλωτικά* hancque significationem firmans duobus locis: Theophr. de caus. pl. 6, 27. *αὐτὸ δὲ τὸ φυτὸν ὅλως ξηρόν —, δῆλον δὲ ἡ γενοφυλλία, καὶ ἡ μικροκαρπία — πάντα γὰρ ταῦτα ξηρότητος*. Antonin. 2, 15. *ὅτι πᾶν ὑπόληψις. δῆλα μὲν γὰρ τὰ πρὸς*

τὰ σμικρότατα τῶν κακῶν ἐξεργάζεσθαι, ἀλλὰ τὰ μέγιστα
d. σχεδόν, ἐάν τις ἐν αὐτοῖς διαβεβλημένος ᾖ. ΣΩ. Εἰ γὰρ
ὤφελον, ὦ Κρίτων, οἷοίτε εἶναι οἱ πολλοὶ τὰ μέγιστα κακὰ
ἐξεργάζεσθαι, ἵνα οἷοίτε ἦσαν αὖ καὶ ἀγαθὰ τὰ μέγιστα [7],
καὶ καλῶς ἂν εἶχε. νῦν δὲ οὐδέτερα οἷοίτε. οὔτε γὰρ φρό-
νιμον οὔτε ἄφρονα δυνατοὶ ποιῆσαι. ποιοῦσι δὲ τοῦτο ὅτι
4 ἂν τύχωσι. ΚΡ. Ταῦτα μὲν δὴ οὕτως ἐχέτω. τάδε δέ, ὦ
Σώκρατες, εἰπέ μοι· ἆρά γε μὴ ἐμοῦ προμηθεῖ [1] καὶ τῶν

τὸν Κυνικὸν Μόνιμον λεγόμενα, δῆλον δὲ καὶ τὸ χρήσιμον τοῦ λεγομένου. Quorum locorum in priori Schneider e conjectura itidem reposuit *δηλοῖ*, in altero idem verbum loco vocis *δῆλα* proposuit Gataker: nam quod sequitur ibi *δῆλον* dictum est sensu solito: quanquam aliae ibidem remanent difficultates, de quibus videndus Gataker. Nostro autem loco, quanquam ex iis quos adhuc cognovimus codicibus varietas nulla enotata est, id tamen memoratu dignum, quod teste Fischero M. Meibomius emendationi *δηλοῖ* in suo exemplo verba, *e cod. vet.* allevit. Itaque rem in medio relinquo. Hoc tamen non minimi mihi quidem videtur esse ad tutandam vulgatam lectionem momenti, quod Socrates infra §. 8. post rejectam vulgi opinionis auctoritatem, aliud Critonianae argumentationis caput tangit his verbis: *ἀλλὰ μὲν δὴ — οἷοί τέ εἰσιν ἡμᾶς οἱ πολλοὶ ἀποκτιννύναι· δῆλα δὴ καὶ ταῦτα.* His enim verbis cum Critonis ea quae hic habemus manifesto respiciantur, ipsa haec vox *δῆλα* non sine ironia quadam repeti videtur. Non tamen, siquidem hanc lectionem servamus, cum Fischero dixerim *δῆλα* hic valere *δηλωτικά*: sed ipsae res praesentes sunt *manifestae*: quod cum dicit Crito, hoc sane cogitat, manifestum illis contineri ejus quod dicit exemplum. Et poterat absolvi in verbo *νυνὶ* oratio: sed explicationis causa negligentius additur illud *ὅτι* etc. Ad Theophrasti autem et Antonini verba allata an aliqua fieri possit hujus rationis applicatio, ego nunc non definio.

7 Imperfectum post *ἵνα*, ad declarandum id, quod non est. Vid. supr. Men. 25. not. 7. — Voculam *αὖ* e bonis codd. addidit Be.

1 Vid. Ind. in *ἆρα*. — Atticam formam *προμηθεῖ* (vid. ad Menon. 7.) praeter optimum codicem Clark. Prisciianus quoque praebuit hunc locum laudans p. 1204. Ac ne contractis tantum verbis hanc in Platonis scriptis formam tribuas, vid. infra §. 14. eandem in barytonis quoque ex eodem Prisciano notatam. Nam quod Krehlius utrobique communem formam reposuit, id neminem morabitur: cum Putschius alteram nisi e codd. profecto non intrusisset. Quin ipse Krehlius altero loco (pag. 204. item 205.) formam *ἐντρέπει* obiter et aliud agens e codd. affert: ut appareat post hunc quoque editorem codd. omnes ad restituendos Prisciani libros iterum conferendos esse.

2 Sic

ἄλλων ἐπιτηδείων, μὴ, ἐὰν σὺ ἐνθένδε ἐξέλθῃς, οἱ συκοφάνται ἡμῖν πράγματα παρέχωσιν, ὡς σε ἐνθένδε ἐκκλέψασι, καὶ ἀναγκασθῶμεν ἢ καὶ πᾶσαν τὴν οὐσίαν ἀποβαλεῖν ἢ συχνὰ χρήματα, ἢ καὶ ἄλλο τι πρὸς τούτοις παθεῖν; εἰ γάρ b.
p. 45. τι τοιοῦτον φοβεῖ, ἔασον αὐτὸ χαίρειν. ἡμεῖς γάρ που δίκαιοί ἐσμεν, σώσαντές σε, κινδυνεύειν τοῦτον τὸν κίνδυνον· καὶ, ἐὰν δέῃ, ἔτι τούτου μείζω. ἀλλ' ἐμοὶ πείθου, καὶ μὴ ἄλλως ποίει. ΣΩ. Καὶ ταῦτα προμηθοῦμαι, ὦ Κρίτων, καὶ ἄλλα πολλά. ΚΡ. Μήτε [2] τοίνυν ταῦτα φοβοῦ· καὶ γὰρ c.
οὐδὲ πολὺ τἀργύριόν ἐστιν, ὃ θέλουσι λαβόντες τινὲς σῶσαί σε· καὶ ἐξαγαγεῖν ἐνθένδε· ἔπειτα οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας, ὡς εὐτελεῖς, καὶ οὐδὲν ἂν δέοι ἐπ' αὐτοὺς πολλοῦ ἀργυρίου; σοὶ δὲ ὑπάρχει μὲν τὰ ἐμὰ χρήματα, ὡς ἐγῷμαι, ἱκανά· ἔπειτα καὶ εἴ τι ἐμοῦ ἡδόμενος οὐκ οἴει δεῖν ἀναλίσκειν τἀμά, ξένοι οὗτοι ἐνθάδε [3] ἕτοιμοι ἀναλίσκειν· εἶς δὲ καὶ κεκόμικεν ἐπ' αὐτὸ τοῦτο ἀργύριον ἱκανὸν, Σιμμίας ὁ Θηβαῖος· ἕτοιμος δὲ καὶ Κέβης, κἀλλοι πολλοὶ πάνυ. ὥστε, ὅπερ λέγω, μήτε ταῦτα φοβούμενος ἀποκάμῃς [4] d.
σαυτὸν σῶσαι, μήτε, ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ [5], δυσχερές σοι γενέσθαι, ὅτι οὐκ ἂν ἔχοις ἐξελθὼν ὅ,τι χρῷο σεαυτῷ. πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε [6] ὅποι ἂν ἀφίκῃ ἀγαπήσουσί σε, ἂν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται, καὶ ἀσφάλειάν σοι παρέξονται, ὥστε σε μηδένα λυπεῖν τῶν κατὰ Θετταλίαν. ἔτι δὲ, ὦ 5

2 Sic pro μή Be. ex optimis. Nimirum interrumpitur statim sermo, qui mox resumitur (d.) hisce, ὥστε — μήτε ταῦτα φοβούμενος —.

3 Peregrini *ecce* hic adsunt. Vid. Abresch. ad Aeschyl. 2, p. 292. *JACOBS.* Gramm. §. 114, 1. Non tamen istud *ecce* ita intelligendum quasi huic colloquio intersint illi; sed de degentibus in urbe, quosque fere quotidie videbat, quasi de praesentibus loquitur Crito.

4 Dubitabat Iacobsius de sinceritate hujus scripturae, quoniam nullum plane evadendi desiderium in Socrate appareret. Sed Crito, non acutissimus sane Socratis observator, quin tale desiderium hujus etiam animum insedisset, nihil dubitabat.

5 Vid. Apolog. p. 37. c. d.

6 Nota hoc genus grammaticae *Attractionis*. Verbum enim ἀγαπήσουσί σε requirebat ἄλλαχοῦ ut modo πολλαχοῦ: sed ob interjectum hic proxime contiguum ὅποι praelata est, quae huic respondet, forma ἄλλοσε. Vid. Gramm. §. 138, I, 4.

1 Sic

Σώκρατες, οὐδὲ δίκαιόν μοι δοκεῖς ἐπιχειρεῖν πρᾶγμα, σαυτὸν προδοῦναι, ἐξὸν σωθῆναι· καὶ τοιαῦτα σπεύδεις [1] περὶ σαυτὸν γενέσθαι, ἅπερ ἂν καὶ οἱ ἐχθροί σου σπεύσαιέν τε
b. καὶ ἔσπευσάν σε διαφθεῖραι βουλόμενοι. πρὸς δὲ τούτοις, καὶ τοὺς υἱεῖς τοὺς σαυτοῦ ἔμοιγε δοκεῖς προδιδόναι, οὓς σοι ἐξὸν καὶ ἐκθρέψαι καὶ ἐκπαιδεῦσαι, οἰχήσει καταλιπών, καὶ τὸ σὸν μέρος, ὅ,τι ἂν τύχωσιν, τοῦτο πράξουσι. τεύξονται δὲ, ὡς τὸ εἰκὸς, τοιούτων οἷάπερ εἴωθε γίγνεσθαι ἐν ταῖς
c. ὀρφανίαις περὶ τοὺς ὀρφανούς. ἢ γὰρ οὐ χρὴ [2] ποιεῖσθαι παῖδας, ἢ ξυνδιαταλαιπωρεῖν καὶ τρέφοντα καὶ παιδεύοντα. σὺ δέ μοι δοκεῖς τὰ ῥᾳθυμότατα αἱρεῖσθαι. χρὴ δὲ, ἅπερ ἂν ἀνὴρ ἀγαθὸς καὶ ἀνδρεῖος ἕλοιτο, ταῦτα αἱρεῖσθαι, φά-
d. σκοντά γε δὴ ἀρετῆς διὰ παντὸς τοῦ βίου ἐπιμελεῖσθαι. ὡς ἔγωγε καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἡμῶν τῶν σῶν ἐπιτηδείων αἰσχύνομαι, μὴ δόξῃ ἅπαν τὸ πρᾶγμα τὸ περὶ σὲ ἀνανδρίᾳ τινὶ τῇ ἡμετέρᾳ πεπρᾶχθαι· καὶ ἡ εἴσοδος τῆς δίκης [3] εἰς

1 Sic codd. longe plurimi; quod propter negligentiam junctarae displicuisse videtur Stephano qui reposuit σπεύδειν, quod est in Ven. Ξ, quodque sequitur Ficini interpretatio: *si — te ipsum perdas, taliaque facere studeas* —. — Aliquanto inferius formam οἰχήσει dedit Clark.

2 Sic Clark. Ven. Π et alii e praestantioribus, quos quoniam alibi sequimur hic quoque nefas erat relinquere. Vulgatum χρῆν rem refert ad Socratem solum, χρή sententiam efficit communem, cui melius, puto, respondet proximum σὺ δέ.

3 Vocabulum hoc Ficinus omittit (*et primum quidem ille tunc in judicium ingressus, cum liceret non ingredi*), unde Forster illud e proximis huc migrasse affirmabat; perperam. Etenim cum causa, ἡ δίκη, εἰσιέναι dicatur (v. Casaub. ad Theoph. Char. 14.) quidni εἴσοδος eodem modo? Verba autem ὡς εἰσῆλθες addita sunt interpretationis causa, ut mox ὡς ἐγένετο. *FISCH.* Duo, qui sequuntur similes Genitivi ἀγὼν τῆς δίκης — κατάγελως τῆς πράξεως suppetias ferre videntur illi quoque εἰσόδῳ τῆς δίκης; cui statim subjungitur ὡς εἰσῆλθες ut diversum aliquanto. Nam causae quidem ingressum impedire Socrates non potuerat. *SCHLEIERM.* Legitur quidem εἰσῆλθεν in codd. opt. Clark. et Ven. Π, sed in illo superscriptum ς. Neque sequens ἐξόν bene hic subjungeretur tertiae personae verbo. Recte autem dici εἰσελθεῖν et de lite et de litigantibus, e Demosthene satis notum. Vid. Mid. 23. 24. 47. Itaque circa causae ingressum, quae impediri non poterat, ex mente Critonis in eo peccatum erat, quod comparuerat Socrates.

4 ἐξὸν

τὸ δικαστήριον οὐκ εἰσῆλθες, ἔξὸν μὴ εἰσελθεῖν [4]· καὶ αὐτὸς ὁ λόγος τῆς δίκης ὡς ἐγένετο· καὶ τὸ τελευταῖον δὴ τοῦτο, ὥσπερ κατάγελως τῆς πράξεως [5], κατὰ τινὶ καὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ διαπεφευγέναι ἡμᾶς δοκεῖν [6], οἵτινές σε οὐχὶ
p. 46. ἐσώσαμεν, οὐδὲ σὺ σαυτὸν οἷόντε ὄν καὶ δυνατὸν, εἴ τι καὶ σμικρὸν ἡμῶν ὄφελος ἦν. ταῦτ' οὖν, ὦ Σώκρατες, ὅρα μὴ [6] ἅμα τῷ κακῷ καὶ αἰσχρὰ ᾖ σοί τε καὶ ἡμῖν. ἀλλὰ βουλεύωμεν· μᾶλλον δὲ οὐδὲ βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι. μία δὲ βουλή. τῆς γὰρ ἐπιούσης νυκτὸς πάντα ταῦτα δεῖ πεπρᾶχθαι. εἰ δέ τι περιμενοῦμεν [7], ἀδύνατον καὶ οὐκέτι οἷόν τε. ἀλλὰ παντὶ τρόπῳ, ὦ Σώκρατες, πείθου μοι, καὶ μηδαμῶς ἄλλως ποίει.

4. ἔξὸν μὴ εἰσ. Respicit fortasse ad legem a Lysia [ed. Reisk. p. 359.] laudatam: δεδιότα δίκης ἕνεκα δρασκάζειν, *dicere reo causae suae diffidenti, fuga se subtrahere.* Nisi malis ad Anytum referre, qui, teste Libanio (το. 1. p. 644.), postquam accusationem contra Socratem instituisset, in gratiam cum eo, pactis quibusdam condicionibus, redire volebat. *FORST.*

5 Hoc totum velut ad fabulam aliquam relatum accipiendum est, comoediam videlicet aut tragoediam, quae tres partes habet, πρότασιν, ἐπίτασιν, καταςροφήν: ita ut sit ingressus ad judicium πρότασις, causae vero actio ἐπίτασις, et postremo quod non servatus sit Socrates *catastropha*, quae hic a Platone κατάγελως dicitur [v. Ind.]. *CORNAR.*

6 Sermo anacoluthus: nam δοκεῖν debebat abesse ut Infinitivus διαπεφευγέναι penderet a verbis μὴ δόξῃ. Sed animus commotus non sinit se legum grammaticarum vinculis astringere. *FISCHER.* Mihi haec anacoluthia semper visa est talis qualem animi commotio non excuset. Quamvis enim dicas, infinitivo hoc δοκεῖν per anacoluthiam repeti illud μὴ δόξῃ: vel sic tamen Infinitivus videtur pendere debere a verbo quodam mente loquentis concepto; quale per sensum non facile comminiscaris nisi φοβοῦμαι, cui aptus Infinitivus non est. Neque tamen, quod olim conjeceram, δοκεῖ, nunc satisfacit, cum futurum potius requiratur, quod et expressit Ficinus: *per ignaviam segnitiemque nostram effugisse nos videbitur.* Sed futurum nemo, opinor, emendando hic procudere volet. Itaque cogimur sane anacoluthiam paulo duriorem agnoscere: quae et Ullrichii est sententia, comparantis admodum similem locum in Alcib. II. 17. extr. ubi δοκεῖν itidem positum est velut pendens a superiori δοκεῖς ut hic a μὴ δόξῃ. Et vide quae observavimus ad Men. 22. a. — In seqq. ex optimis editum οὐχὶ ἐσ.: olim οὐ διεσ. quod duo tantum habent mss.: plurimi οὐκ ἐσ.

7 Sic codd. opt. pro vulg. εἰ δὲ π.: sed Ficinus videtur legisse εἰ δ' ἔτι, vertit enim, *si autem ultra tardamus.*

1 Vid.

6 ΣΩ. Ὦ φίλε Κρίτων, ἡ προθυμία σου πολλοῦ ἀξία, εἰ μετά τινος ὀρθότητος εἴη· εἰ δὲ μή, ὅσῳ μείζων, τοσούτῳ χαλεπωτέρα. σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς, εἴτε ταῦτα πρακτέον εἴτε μή. ὡς ἐγὼ οὐ μόνον νῦν, ἀλλὰ καὶ ἀεὶ τοιοῦτος, οἷος τῶν ἐμῶν [1] μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ
b. ὃς ἂν μοι λογιζομένῳ βέλτιστος φαίνηται. τοὺς δὲ λόγους, οὓς ἐν τῷ ἔμπροσθεν ἔλεγον, οὐ δύναμαι νῦν ἐκβαλεῖν [2], ἐπειδή μοι ἥδε ἡ τύχη γέγονεν· ἀλλὰ σχεδόν τι ὁμοίους φαίνονταί μοι, καὶ τοὺς αὐτοὺς πρεσβεύω [3] καὶ τιμῶ, οὕσπερ καὶ πρότερον. ἢν ἐὰν μὴ βελτίω ἔχωμεν λέγειν ἐν τῷ παρόντι, εὖ ἴσθι, ὅτι οὐ μή σοι ξυγχωρήσω, οὐδ' ἂν πλείω τῶν νῦν παρόντων ἡ τῶν πολλῶν δύναμις ὥσπερ παῖδας ἡμᾶς μορμολύττηται δεσμοὺς [4] καὶ θανάτους ἐπιπέμπουσα
c. καὶ χρημάτων ἀφαιρέσεις. πῶς οὖν ἂν μετριάτατα σκοποίμεθα αὐτά; εἰ πρῶτον μὲν τοῦτον τὸν λόγον ἀναλεβοίμεν [5], ὃν σὺ λέγεις περὶ [6] τῶν δοξῶν, πότερον καλῶς ἐλέγετο ἑκάστοτε, ἢ οὔ [7], ὅτι ταῖς μὲν δεῖ τῶν δοξῶν προσέχειν τὸν

1 Vid. Ind. ἐμός.

2 Eusebius — apud quem in Praep. Euang. 13, 6. p. 651. legitur locus: ὦ φίλε Κρίτων, init. §. 6. usque ad verba: καὶ τῶν ἐναντίων §. 8. — habet ἐκβάλλειν.

3 Vid. Ind.

4 Euseb. δεσμούς τε καὶ θαν. — Constructio: ἂν ἡ τῶν πολλῶν δύναμις μορμολύττηται ἡμᾶς, ἐπιπέμπουσα πλείω, δεσμοὺς κ. τ. λ.

5 Vid. Ind.

6 Euseb. τὸν περὶ —. Sive hoc sive illo modo scribis, hoc tenendum est, λόγον hic non indicare integram aliquam Critonis ratiocinationem; sequitur enim πότερον καλῶς ἐλέγετο ἑκάστοτε· sed locum, quaestionem (die Materie) de opinionibus. Respicit enim Socrates ea, quae de hominum opinione metuenda sibi dixerat Crito §. 3. Et in hunc utique sensum praeferenda est lectio Eusebiana τὸν περὶ τ. δ. Si illam primum, quam tu attigisti quaestionem, quae est de opinionibus, retractemus (videamusque) an recte semper statuerimus etc. — Verbis autem πρῶτον μὲν hic quidem nihil respondet, sed repetuntur ea infra §. 8. (ὥςε πρῶτον μέν) statimque altera ibi quaestio subjungitur per ἄλλα μὲν δή.

7 Verba ἢ οὔ non spectant ad ἑκάστοτε· eo enim pertinent, quae sequuntur mox, ἢ πρὶν μὲν κ. τ. λ. — sed ad καλῶς. Tria igitur ponuntur: bene, an non bene, an denique antea quidem bene, nunc autem male. Postremum hoc cum leni quadam irrisione profert Socrates, quam qui non statim sentirent nodum in sirpo quaesiverunt.

νυθῶν; ταῖς δὲ οὔ· ἢ πρὶν μὲν ἐμὲ δεῖν ἀποθνήσκειν, καλῶς ἐλέγετο, νῦν δὲ κατάδηλος ἄρα ἐγένετο, ὅτι ἄλλως ἕνεκα λόγου ἐλέγετο [8], ἦν δὲ παιδιὰ καὶ φλυαρία ὡς ἀληθῶς. ἐπιθυμῶ δ' ἔγωγε ἐπισκέψασθαι, ὦ Κρίτων, κοινῇ μετὰ σοῦ, d. εἴ τί μοι ἀλλοιότερος φανεῖται, ἐπειδὴ ὧδε ἔχω, ἢ ὁ αὐτός; καὶ ἐάσομεν χαίρειν, ἢ πεισόμεθα αὐτῷ. ἐλέγετο δέ πως; ὡς ἐγῷμαι, ἑκάστοτε ὧδε ὑπὸ τῶν οἰομένων τι λέγειν, ὥσπερ νῦν δὴ ἐγὼ ἔλεγον· ὅτι τῶν δοξῶν, ἃς οἱ ἄνθρωποι δοξάζουσι, δέοι τὰς μὲν περὶ πολλοῦ ποιεῖσθαι, τὰς δὲ μή. τοῦ- e. τό πρὸς θεῶν, ὦ Κρίτων, οὐ δοκεῖ καλῶς σοι λέγεσθαι; σὲ γὰρ, ὅσα γε τἀνθρώπεια, ἐκτὸς εἰ τοῦ μέλλειν ἀποθνή- p. 47. σκειν αὔριον, καὶ οὐκ ἄν σε παρακρούοι ἡ παροῦσα ξυμφορά· σκόπει δή. οὐχ ἱκανῶς δοκεῖ σοι λέγεσθαι, ὅτι οὐ f. πᾶσας χρὴ τὰς δόξας τὰς τῶν ἀνθρώπων [9] τιμᾶν, ἀλλὰ τὰς μὲν, τὰς δ' οὔ; οὐδὲ πάντων, ἀλλὰ τῶν μὲν, τῶν δ' οὔ; τί φῄς; ταῦτα οὐχὶ καλῶς λέγεται; ΚΡ. Καλῶς. ΣΩ. Οὐκοῦν τὰς μὲν χρησὰς τιμᾶν, τὰς δὲ πονηρὰς μή; ΚΡ. Ναί. ΣΩ. Χρησαὶ δὲ οὐχ αἱ τῶν φρονίμων, πονηραὶ δὲ αἱ τῶν ἀφρόνων; ΚΡ. Πῶς δ' οὔ; ΣΩ. Φέρε δὴ, πῶς 7 αὖ τὰ τοιαῦτα ἐλέγετο; γυμναζόμενος ἀνὴρ καὶ τοῦτο πράττων, πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ ψόγῳ καὶ δόξῃ τὸν νοῦν προσέχει, ἢ ἑνὸς μόνου ἐκείνου ὃς ἂν τυγχάνῃ ἰατρὸς ἢ παιδοτρίβης ὤν; ΚΡ. Ἑνὸς μόνου. ΣΩ. Οὐκοῦν φοβεῖσθαι χρὴ τοὺς ψόγους καὶ ἀσπάζεσθαι τοὺς ἐπαίνους τοὺς τοῦ ἑνὸς ἐκείνου, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν; ΚΡ. Δηλαδή. ΣΩ. Ταύτῃ ἄρα αὐτῷ πρακτέον καὶ γυμναστέον, b. καὶ ἐδεστέον γε [1] καὶ ποτέον, ᾗ ἂν τῷ ἑνὶ δοκῇ τῷ ἐπιστάτῃ καὶ ἐπαΐοντι μᾶλλον ἢ ᾗ ξύμπασι τοῖς ἄλλοις. ΚΡ. Ἔστι ταῦτα. ΣΩ. Εἶεν. ἀπειθήσας δὲ τῷ ἑνὶ, καὶ ἀτιμάσας αὐτοῦ τὴν δόξαν καὶ τοὺς ἐπαίνους, τιμήσας δὲ τοὺς τῶν πολλῶν λόγους [2] καὶ μηδὲν ἐπαΐοντων, ἆρα οὐδὲν κακὸν πείσεται; ΚΡ. Πῶς γὰρ οὔ; ΣΩ. Τί δ' ἔστι τὸ κακὸν

8 V. Ind. ἄλλως.

9 Alterum τὰς cum Wolfio inserui e Vind. 2. et ex Eusebio.

1 Vid. de tali γέ, quod novam classem in serie aliqua constituit, Heind. ad Hipp. maj. 47.

2 Ita Codd. Clark. Ven. Π, Tub. alii. Vulgo deest λόγους.

3 Apud

τοῦτο, καὶ ποῖ τείνει, καὶ εἰς τί τῶν τοῦ ἀπειθοῦντος; ΚΡ. Δῆλον ὅτι εἰς τὸ σῶμα. τοῦτο γὰρ διόλλυσι. ΣΩ. c. Καλῶς λέγεις. οὐκοῦν καὶ τἆλλα, ὦ Κρίτων, οὕτως, ἵνα μὴ πάντα διίωμεν. καὶ δὴ καὶ περὶ τῶν δικαίων [3] καὶ ἀδίκων, καὶ αἰσχρῶν καὶ καλῶν, καὶ ἀγαθῶν καὶ κακῶν, περὶ ὧν νῦν ἡμῖν ἐξιν ἡ βουλή, πότερον τῇ τῶν πολλῶν δόξῃ δεῖ ἡμᾶς ἕπεσθαι, καὶ φοβεῖσθαι αὐτήν, ἢ τῇ τοῦ ἑνός, εἴ-τις ἐξὶν ἐπαΐων, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι μᾶλ-λον ἢ ξύμπαντας τοὺς ἄλλους; ᾧ εἰ μὴ ἀκολουθήσομεν, διαφθεροῦμεν ἐκεῖνο καὶ λωβησόμεθα, ὃ τῷ μὲν δικαίῳ βελ-τιον ἐγίγνετο, τῷ δὲ ἀδίκῳ ἀπώλλυτο [4]; ἢ οὐδέν ἐξι τοῦ-8 το; ΚΡ. Οἶμαι ἔγωγε, ὦ Σώκρατες [5]. ΣΩ. Φέρε δή, ἐὰν τὰ ὑπὸ τοῦ ὑγιεινοῦ μὲν βέλτιον γιγνόμενον, ὑπὸ τοῦ νοσώ-δους δὲ διαφθειρόμενον, διολέσωμεν πειθόμενοι μὴ τῇ τῶν ἐπαϊόντων δόξῃ [1], ἆρα βιωτὸν ἡμῖν ἐξι διεφθαρμένου αὐ-

3 Apud Theodoret. — in cujus Ἑλλην. παθημ. θεράπ. 2. p. 27. locus hic inde a καὶ δὴ καὶ legitur usque ad ἀπώλλυτο — est τῶν δικαίων τε καὶ ἀδ.

4 Horum imperfectorum rationem nemo, opinor, reddet, cum vel Praesens vel Aoristum sensus requirat. Et en tibi Theodoretum dantem — ἐγένετο, τῷ δὲ ἀδίκῳ ἀπόλλυται. Unde, collata scriptura vulgata, praetulerim ἐγένετο — ἀπώλετο, maxime monente Heindorfio, aoristos fere adhiberi a Platone, ubi duo vel plura similia, quae solent fieri, junctim memorantur; cujus rei exempla aliquot apposuit ad Phaedo. 49.

5 v. Ind. οἶεσθαι.

1 Ficinus vertit: *imperitorum potius, quam peritorum secuti judicia*, non male. Est enim hoc loco quoddam Synchyseos sive Hyperbati (Schol. Aristoph. Plut. 259.) genus pro τῇ τῶν μὴ —, cujus exemplum simile habet Xenoph. Memor. 3, 9, 6. τὸ δὲ ἀγνοεῖν ἑαυτὸν καὶ μὴ ἃ οἴδε δοξάζειν τε καὶ οἴεσθαι γιγνώσκειν, ἐγγυτάτω μανίας ἐλογίζετο εἶναι — pro καὶ ἃ μὴ οἶδε. FISCH. Rectius, ut nunc mihi videtur, utroque loco post rem per μή negatam, alterum membrum cogitatione suppletur per ἀλλά: apud Platonem, ἀλλὰ τῇ τῶν μὴ ἐπαϊόντων, apud Xenophontem, ἀλλ' ἃ μὴ οἶδεν. Atque in hunc sensum etiam *E. R. Lange* (in Specim. crit. in Critonem Lips. 1821. 8°.) Platonis locum explicuit: alterum autem Xenophontis ita corrigendum putat idem, ut, contra codices, novissimi nunc editores fecerunt, ἃ μὴ οἶδε. Et hoc quidem non recte factum esse non haesitanter pronuntio. At si quis neque in Fischeri neque in nostra ratione acquiescat; sed quae mente supplenda esse diximus, librariorum utrobique vitio, *ob homoeoteleuton excidisse* contenderit, is me adversarium non habebit.

τοῦ; ἔχει δέ που τοῦτο σῶμα [2]· ἢ οὐχί; ΚΡ. Ναί. ΣΩ. Ἆρ' οὖν βιωτὸν ἡμῖν ἐστι μετὰ μοχθηροῦ καὶ διεφθαρμένου σώματος; ΚΡ. Οὐδαμῶς. ΣΩ. Ἀλλὰ μετ' ἐκείνου ἄρα [3] b.
ἡμῖν βιωτὸν διεφθαρμένου ὃ [4] τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν; ἢ φαυλότερον ἡγούμεθα εἶναι τοῦ σώματος ἐκεῖνο, ὅτι ποτ' ἐστὶ τῶν ἡμετέρων, περὶ ὃ ἥ τε ἀδι-
p. 48. κία καὶ ἡ δικαιοσύνη ἐστίν; ΚΡ. Οὐδαμῶς. ΣΩ. Ἀλλὰ τιμιώτερον; ΚΡ. Πολύ γε. ΣΩ. Οὐκ ἄρα, ὦ βέλτιστε, πάντα c.
ἡμῖν οὕτω φροντιστέον, ὅτι [5] ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅτι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων, ὁ εἷς, καὶ αὐτὴ ἡ ἀλήθεια. ὥστε πρῶτον μὲν ταύτῃ οὐκ ὀρθῶς εἰσηγῇ [6], εἰσηγούμενος τῆς τῶν πολλῶν δόξης δεῖν ἡμᾶς φροντίζειν περὶ τῶν δικαίων καὶ καλῶν καὶ ἀγαθῶν, καὶ τῶν ἐναντίων. ἀλλὰ μὲν δή, φαίη γ' ἄν τις, οἱόν τε γ' εἰσὶν ἡμᾶς οἱ πολ- d.
λοὶ ἀποκτιννύναι· δῆλα δὴ καὶ ταῦτα. ΚΡ. Φαίη γὰρ ἄν, ὦ Σώκρατες [7]. ΣΩ. Ἀληθῆ λέγεις. ἀλλ', ὦ θαυμάσιε,

2 Fischer et Bekker τοῦτο τὸ σῶμα: quod quanquam in optimis codd. Clark. Ven. *II*, Tub. aliis inventum est, levem tamen in talibus, quale est τὸ post τοῦτο, vel optumorum codicum auctoritatem puto. Et facilius bis a librario legitur simplex syllaba το, quam omittitur ubi duplicata est. Legitimum autem esse in talibus neglectum articuli vidimus in Menone §. 7. d.

3 Verbum ἐστὶν quod vulgo hic inseritur cum Be. et codd. opt. omisimus.

4 Libri Platonis habent ᾧ. Sed Euseb. ὅ, ut Stephanus legendum conjecerat, recte. Nam et verbum λωβᾶται, et verbum ὀνίνησιν requirit hunc casum. Restituimus igitur. *FISCH.*

5 Codd. optimi τἰ. Quod prohum esse potest non obstante forma ὅτι in altero membro.

6 Sic, pro -ῇ, solus Clark.

7 Haec est constans librorum omnium lectio. Sed cum Ficinus ultima Socratis verba cum Critonis conflata ita expressisset: *Nimirum dici id potest, o S.*, Cornarius graeca ita constituit: *ΚΡ. Δηλαδὴ καὶ ταῦτα φαίη γ' ἄν τις, ὦ Σ.* quod in textum recepit Stephanus et post eum alii. Atqui deterrere eos debebat optima illa affirmandi forma per γάρ (vid. Ind.), quam unice aptam superioribus fortuito errori scilicet ttibuebant illi. Retinenda igitur scriptura codicum et disjuncte scribendum δῆλα δή. Vide Heindorfium ad Protag. init. optime docentem quando bona et utilis est scriptura δηλαδή, quando non item. Ita non recte scribitur et distinguitur in Aristophanis Vespis 441.

Εἶτα δῆτ' οὐ πάλλ' ἔνεστι δεινὰ τῷ γήρᾳ κακὰ
Δηλαδή; καὶ νῦν γε τούτων τὸν παλαιὸν δεσπότην
Πρὸς βίαν χειροῦσιν.

eum

οὗτός τε ὁ λόγος ὃν διεληλύθαμεν, ἔμοιγε δοκεῖ ἔτι ὅμοιος εἶναι καὶ πρότερον [8]· καὶ τόνδε δὲ αὖ σκόπει, εἰ ἔτι μένει ἡμῖν, ἢ οὔ, ὅτι οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν. ΚΡ. Ἀλλὰ μένει. ΣΩ. Τὸ δὲ εὖ καὶ καλῶς καὶ δικαίως ὅτι ταυτὸν ἐστι, μένει ἢ οὐ μένει; ΚΡ. Μένει.

9 ΣΩ. Οὐκοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο σκεπτέον, πότερον δίκαιον ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι, μὴ ἀφιέντων [1] Ἀθηναίων, ἢ οὐ δίκαιον· καὶ ἐὰν μὲν φαίνηται δίκαιον, πειρώμεθα· εἰ δὲ μή, ἐῶμεν. ὃς δὲ σὺ λέγεις τὰς σκέψεις περί τε χρημάτων ἀναλώσεως καὶ δόξης καὶ παίδων τροφῆς, μὴ ὡς ἀληθῶς ταῦτα, ὦ Κρίτων, σκέμματα ἢ τῶν φαδίως ἀποκτεινύντων καὶ ἀναβιωσκομένων χ' ἂν [2], εἰ οἷόb. τε ἦσαν, οὐδενὶ ξὺν νῷ τούτων τῶν πολλῶν. ἡμῖν δ', ἐπειδὴ ὁ λόγος οὕτως αἱρεῖ [3], μὴ οὐδὲν ἄλλο σκεπτέον ἢ, ἢ ὅπερ νῦν δὴ ἐλέγομεν, πότερον δίκαια πράξαντες καὶ χρήματα τελοῦντες τούτοις τοῖς ἐνθένδε ἐξάξουσι καὶ χάριτας [4], καὶ αὐτοὶ ἐξάγοντές τε καὶ ἐξαγόμενοι, ἢ τῇ ἀληc. θείᾳ ἀδικήσομεν ταῦτα πάντα ποιοῦντες. κἂν φαινώμεθα ἄδικα αὐτὰ ἐργαζόμενοι, μὴ οὐ δέῃ ὑπολογίζεσθαι οὔτ' εἰ ἀποθνήσκειν δεῖ παραμένοντας καὶ ἡσυχίαν ἄγοντας οὔτε ἄλλο ὁτιοῦν πάσχειν πρὸ τοῦ ἀδικεῖν. ΚΡ. Καλῶς μέν μοι

cum sola vera sit ratio haec:

Εἶτα δῆτ' οὐ πόλλ' ἔνεστι δεινὰ τῷ γήρᾳ κακά;
Δῆλα δή. καὶ νῦν γε τούτω κ. τ. λ.

Respici autem hoc nostro loco verba Critonis §. 3. c. monuimus ibi. — In superioribus γέ post οἶσθε a Be. insertum ex parte codicum.

8 De hoc loco qui inde a Stephano sic legebatur, οὗτός γε ὁ λ. — δοκεῖ ὅμοιος εἶναι τῷ πρότερῳ, vid. Excursum ad h. lib. primum.

1 Cod. Tub. *ἐφιέντων, permittentibus.* Vid. ad Alcib. I. 5 extr.

2 v. Ind. in ἄν.

3 v. Ind. λόγος.

4 Verbum τελεῖν tantum nomini *χρήματα* accommodatum est, non item nomini *χάριτας*: nam *χάριν ἔχειν* dicitur et *εἰδέναι* et *προσειδέναι* et *ἀποδιδόναι*, etiam *ἐκτίνειν*, non *χάριν τελεῖν*. Sed unum verbum etiam a Graecis addi solet pluribus nominibus, quod eorum uni, cui adjunctum est, proprie respondeat, cujus tamen notio tam late pateat, ut contineat notiones etiam verborum, quae ceteris nominibus proprie respondeant. *FISCH.* In scholiis ad h. l. notatur: *Χρήματα πράττοντες*] *ἀντὶ τοῦ, τελοῦντες*, quasi lectum fuerit etiam *πράττοντες*: per errorem haud dubie.

5 In

δοκῇς λέγειν, ὦ Σώκρατες· ὅρα δὲ τί ἀρῶμεν. ΣΩ. Σκο- d.
πῶμεν, ὦ γενναῖε, κοινῇ. καὶ εἴ πῃ ἔχεις ἀντιλέγειν ἐμοῦ λέ-
γοντος, ἀντίλεγε, καί σοι πείσομαι· εἰ δὲ μή, παῦσαι ἤδη,
ὦ μακάριε, πολλάκις μοι λέγων τὸν αὐτὸν λόγον, ὡς χρὴ
ἐνθένδε ἀκόντων Ἀθηναίων ἐμὲ ἀπιέναι. ὡς ἐγὼ περὶ πολ-
λοῦ ποιοῦμαι πεῖσαί σε ταῦτα πράττειν, ἀλλὰ μὴ ἄκοντος [5].
ὅρα δὲ δὴ τῆς σκέψεως τὴν ἀρχήν, ἐάν σοι ἱκανῶς λέγηται,
p. 49. καὶ πειρῶ ἀποκρίνεσθαι τὸ ἐρωτώμενον, ᾗ ἂν μάλιστα οἴῃ.
ΚΡ. Ἀλλὰ πειράσομαι. ΣΩ. Οὐδενὶ [1] τρόπῳ φαμὲν ἑκόν- 10

5 In impedito hoc loco nihil agere possum nisi ut varias variorum rationes apponam, quarum quaeque tamen suo incommodo premitur. Si liceat verbum *πράττειν*, ut saepius *ποιεῖν*, dictum accipere loco cujuscunque verbi vel dictionis repetendae, hic igitur pro *παύεσθαι κ. τ. λ.*, genitivum *ἄκοντος* excusaverim exemplis mutatae constructionis qualia Dorvillius protulit ad Charit. p. 354. Lips. Fuerit itaque *πείθειν τινὰ παύεσθαι, ἄκοντος αὐτοῦ* „persuadere alicui ut desinat, ita tamen ut de injustitia actionis dissuasae, non simul persuasum sit illi". Quin faciliorem hanc rationem reddas adoptanda lectione codicis Vind. 2. *ἄκοντα*. Certe satis est notum quam sollemnis sit in codd. permutatio syllabarum *ος* et *α*: vid. Ind. ad Greg. Cor. Schaeferi. Quod si displicet, aliam rationem ineas consulto Ficino, qui habet: *multi facio, persuaso te hoc agere, non autem invito:* hunc enim ille sensum efficere non potuit nisi aut invenit aut correxit ita: *πείσας σε ταῦτα πράττειν, ἀλλὰ μὴ ἄκοντος* (sc. *σοῦ*). Ita tamen non minus insolenter *πράττειν* dictum esset de Socrate *fugam recusante*. Heindorfius conjiciebat *πείσαντά σε*, ut sit „persuadendo (mihi) te hoc agere, non vero invito me". Wolfius vulgatam ita latine reddidit. „Nam ego magnum ducam, si persuaseris mihi, modo ne nolenti!" neque aliter Schleiermacher. In quarum rationum utraque mihi quidem non satis e persona Socratis esse videtur istud *περὶ πολλοῦ ποιοῦμαι*: quod indicativi modi verbum verum votum eloquitur, non id quod dicere fortasse poterat idem, *περὶ πολλοῦ ἂν ποιοίμην εἰ πείσειας* —. Denique Sallierus emendabat *παῦσαι* pro *πεῖσαι*: neque sine exemplis est infinitivus post verbum *παύειν* (v. Steph. Thes. III. 303. c. d.). Quam rationem si conjungas cum lectione memorata *ἄκοντα*; sensum certe bonum fundant ista: *περὶ πολλοῦ ποιοῦμαι παῦσαί σε ταῦτα πράττειν ἀλλὰ μὴ ἄκοντα*, et *πράττειν* optime dictum sit de Critone hoc *agente* ut Socratem quoquo modo ad fugam compellat. Sed est aliquid molesti in his „*desine* —: nam ego magnum ducam, te *desinere* —". Itaque equidem redeo ad rationem primo loco a me propositam.

1 Totum hoc caput usque ad vocem *ποιητέον* legitur in Eusebii Praep. Euang. 13, 7. — De Verbali in *τέον* cum Accus.

τας ἀδικητέον εἶναι; ἢ τινὶ μὲν ἀδικητέον τρόπῳ, τινὶ δὲ οὔ; ἢ οὐδαμῶς τό γε ἀδικεῖν οὔτε ἀγαθὸν, οὔτε καλὸν, ὡς πολλάκις ἡμῖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη; ὅπερ καὶ ἄρτι ἐλέγετο [2]. ἢ πᾶσαι ἡμῖν ἐκεῖναι αἱ πρόσθεν ὁμολογίαι ἐν ταῖσδε ταῖς ὀλίγαις ἡμέραις ἐκκεχυμέναι εἰσί, καὶ πάλαι, ὦ Κρίτων, ἄρα τηλικοίδε γέροντες ἄνδρες πρὸς ἀλλήλους σπουδῇ διαλεγόμενοι ἐλάθομεν ἡμᾶς αὐτοὺς παί-
b. δων οὐδὲν διαφέροντες; ἢ παντὸς μᾶλλον οὕτως ἔχει, ὥσπερ τότε ἐλέγετο ἡμῖν, εἴτε φασὶν οἱ πολλοὶ, εἴτε μή; καὶ εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε χαλεπώτερα πάσχειν, εἴτε καὶ πρᾳότερα, ὅμως τόγε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ [3]; φαμὲν, ἢ οὔ; ΚΡ. Φαμέν. ΣΩ.
c. Οὐδαμῶς [4] ἄρα δεῖ ἀδικεῖν. ΚΡ. Οὐ δῆτα. ΣΩ. Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν. ΚΡ. Οὐ φαίνεται. ΣΩ. Τί δαὶ δή; κακουργεῖν δεῖ, ὦ Κρίτων, ἢ οὔ; ΚΡ. Οὐ δεῖ δήπου, ὦ Σώκρατες. ΣΩ. Τί δαί [5]; ἀντικακουργεῖν κακῶς, πά-

cus. Subjecti (ἐκόντας ἀδικητέον) vid. Gramm. §. 121. Obs. 3. — Denique de turbis quas editores olim fecerant in his ἢ τινι μὲν κ. τ. ε. vid. Excurs. II.

2 Incultus sermo: ὡς πολλάκις — ὡμολογήθη· ὅπερ καὶ ἄρτι ἐλέγετο. Quare Heindorfius, indicio lectionis Eusebianae, ubi est μὲν pro ἡμῖν, post πολλάκις emendare conabatur ὡς πολλάκις μὲν ἡμῖν — ὡμολογήθη, ἀτὰρ καὶ —: de rep. 2. p. 367. extr. ἀεὶ μὲν δὴ τὴν φύσιν τοῦ Γλαύκωνος — ἠγάμην, ἀτὰρ οὖν καὶ τότε πάνυ γε ἤσθην. Add. Protag. p. 335. d. Ego per annos aliquanto religiosior factus, tanto quidem quanto olim opere hanc conjecturam non commendo: sed in vulgata non magis hodie acquiesco, sive majorem ante ὅπερ sive minorem interpunctionem ponas. Sed fortasse non negligenda lectio quae in quibusdam codd. verbo ἐλέγετο superscripta est, ἐγένετο. Ita ὅπερ referendum foret ad solum verbum ὡμολογήθη. Respicere autem videtur Socrates dicta supra §. 8. extr. et §. 9. c.

3 Sic optimi et plurimi cum Eusebio et Stobaeo (apud quem in Eclog. Eth. 10. p. 129. sunt verba hujus capitis ὅμως τόγε ἀδικεῖν usque ad ἀλλήλων τὰ βουλεύματα). Stephanus cum parte codd. τυγχάνειν ὄν, pendens a seq. φαμέν: quod expressit etiam Ficinus.

4 Extat hic locus usque ad πάσχῃ ὑπ' αὐτῶν ap. Origenem contra Cels. 7. p. 370. et ap. Theodoret. Θ. Π. 12. p. 171. inque eorum codd. nonnullis verbum δεῖ infra in his Οὐ δεῖ δήπου non inventum est. Vid. Fischer.

5 Vulgo δέ. Et mirabar quid accidisset quod hic potissimum e nullo codice enotatum sit illud δαί, de quo vid.

σροντα, ὡς οἱ πολλοί φασι [6], δίκαιον, ἢ οὐ δίκαιον; ΚΡ. Οὐδαμῶς. ΣΩ. Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους, τοῦ ἀδικεῖν οὐδὲν διαφέρει. ΚΡ. Ἀληθῆ λέγεις. ΣΩ. Οὔτε d. ἄρα [7] ἀνταδικεῖν δεῖ, οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν [8]. καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθομολογῶν [9] ὅπως μὴ παρὰ δόξαν ὁμολογῇς. οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ καὶ δόξει. οἷς οὖν οὕτω [10] δέδοκται καὶ οἷς μὴ, τούτοις οὐκ ἔχει κοινὴ βουλὴ, ἀλλ' ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας τὰ ἀλλήλων βουλεύματα [11]. σκόπει δὴ οὖν [12] καὶ σὺ εὖ μά- e. λα, πότερον κοινωνεῖς καὶ ξυνδοκεῖ σοι, καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέποτε ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν, οὔτε τοῦ ἀνταδικεῖν, οὔτε κακῶς [13] πάσχοντα ἀμύνεσθαι ἀντιδρῶντα [14] κακῶς· ἢ ἀφίςασαι καὶ οὐ κοινω-

vid. ad Men. 2. not. 7. Itaque E. R. Langio e Trincavelliana Stobaei editione hanc formam porrigenti et recte commendanti lubens obsecutus sum.

6 ὡς οἱ πολλοί φασι. Archilochi haec sententia, cujus verba sunt ap. Theophil. ad Autol. 2, 37.:

ἓν δ' ἐπίςαμαι μέγα,
Τὸν κακῶς τι δρῶντα δεινοῖς
ἀνταμείβεσθαι κακοῖς.

Quem secuti sunt veterum plurimi. Ita et Gorgias viri virtutem ponebat in hoc ἱκανὸν εἶναι τὰ τῆς πόλεως πράττειν, καὶ πράττοντα τοὺς μὲν φίλους εὖ ποιεῖν τοὺς δ' ἐχθροὺς κακῶς (Meno. 3.). *JACOBS.*

7 Theodoret. οὔτε οὖν ἄρα· bene. *FISCH.*

8 Eusebius et Theodoretus inserunt τὶς post πάσχῃ, quod recte neglexit Fischer. Vid. ad Men. 12. b.

9 In hac scriptura consentiunt codd. opt. cum Stobaeo et Eusebio. Vulgo ὁμολογεῖν. Uni tamen Oxoniensi Eusebii codici, etiam in sequentibus καθομολογῇς exhibenti, mos gerendus non est. Molesta enim esset praepositionis iteratio.

10 Sic Codd. paene omnes cum Euseb. et Stob. Quorum auctoritati ob unum Ven. Ξ, qui dat vulgatum olim οἷς δ' οὕτω, refragari nefas duxi; quamquam per sententiarum nexum me unice favere fateor lectioni desertae.

11 Sic cum optimis Euseb. et Stob. Olim ἀλλήλων τὰ β.

12 Euseb. δὴ οὖν, bene: ut Euthyphr. 4. ταῦτα δὴ οὖν —. *FISCH.* Accedunt codd. opt. Olim οὖν δή.

13 Eusebius habet: τοῦ κακ. et mox Cod. Tub. ἀμύνασθαι.

14 Ita nunc editur astipulantibus codicibus opt. et plur. atque Eusebio. Olim ἀντιδρῶντας.

15 Bo-

ξ. νεῖς τῆς ἀρχῆς. ἐμοὶ μὲν γὰρ καὶ πάλαι οὕτω καὶ νῦν ἔχει δοκεῖ. [15] σοὶ δ' εἴ πῃ ἄλλῃ δέδοκται, λέγε καὶ δίδασκε. εἰ δ' ἐμμένεις ταῖς πρόσθεν, τὸ μετὰ τοῦτο ἄκουε. *KP.* Ἀλλ' ἐμμένω τε καὶ ξυνδοκεῖ μοι. ἀλλὰ λέγε. *ΣΩ.* Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο· μᾶλλον δ' ἐρωτῶ· πότερον ἃ ἄν τις ὁμολογήσῃ τῷ, δίκαια ὄντα, ποιητέον, ἢ ἐξαπατητέον.
11 *KP.* Ποιητέον. *ΣΩ.* Ἐκ τούτων δὴ ἄθρει. ἀπιόντες ἐνθένδε ἡμεῖς μὴ πείσαντες τὴν πόλιν, πότερον κακῶς τινας ποιοῦμεν, καὶ ταῦτα οὓς ἥκιστα δεῖ, ἢ οὔ; καὶ ἐμμένομεν οἷς p. 50. ὡμολογήσαμεν δικαίοις οὖσιν, ἢ οὔ; *KP.* Οὐκ ἔχω, ὦ Σώκρατες, ἀποκρίνασθαι πρὸς ὃ ἐρωτᾷς. οὐ γὰρ ἐννοῶ. *ΣΩ.* Ἀλλ' ὧδε σκόπει. εἰ μέλλουσιν ἡμῖν ἐνθένδε εἴτε ἀποδιδράσκειν, εἴθ' ὅπως δεῖ ὀνομάσαι ταῦτο, ἐλθόντες οἱ νό- b. μοι [1] καὶ τὸ κοινὸν τῆς πόλεως [2] ἐπιστάντες ἔροιντο· Εἰπέ μοι, ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν; ἄλλο τι ἢ τούτῳ τῷ ἔργῳ ᾧ ἐπιχειρεῖς, διανοεῖ [3] τούς τε νόμους ἡμᾶς ἀπολέσαι καὶ ξύμπασαν τὴν πόλιν, τὸ σὸν μέρος; ἢ δοκεῖ σοι οἷόντε ἔτι ἐκείνην τὴν πόλιν εἶναι, καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ ἂν αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύωσιν, ἀλλ' ὑπὸ ἰδιωτῶν c. ἄκυροί τε γίγνωνται καὶ διαφθείρωνται; τί ἐροῦμεν, ὦ Κρίτων, πρὸς ταῦτα καὶ ἄλλα τοιαῦτα; πολλὰ γὰρ ἄν τις ἔχοι, ἄλλως τε καὶ ῥήτωρ, εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας εἶναι. ἢ ἐροῦμεν πρὸς αὐτοὺς ὅτι ἠδίκει [4] γὰρ ἡμᾶς ἡ πόλις, καὶ

15 Boni codices Paris. DS sic haec exhibent: *ἐμοὶ μὲν οὖν καὶ πάλαι καὶ νῦν οὕτω δοκεῖ.*

1 Praeclarus locus; quem levi imitatione attigit Cicero in Catil. I, 7. *Patria — quae tecum, Catilina, sic agit, et quodammodo tacita loquitur,* etc. At multo gravius atque fortius summus Rex in epistolis de amore erga patriam (Oeuvres de Fréderic II, publiées du vivant de l'Auteur, t. III, p. 54.): *Que pourroient répondre ces coeurs tièdes et lâches, — si la patrie personnifiée se présentoit subitement devant eux, et leur tenoit à peu près ce langage* etc. *BIE.*

2 H. e. *ipsa civitas.* Sic in Xenophont. Cyropaed. saepius *τὸ Περσῶν κοινόν,* et apud Ciceron. Verr. II, 46, 63. *commune Siciliae. FISCH.*

3 Sic pro *-ῃ* Clark. et a prima manu Coisl.

4 Non sine causa haerebat in Imperfecto Heindorfius, legendumque putabat *ἀδικεῖ*: ut proximum *ἔροιντο* sit aoristum. Ἠδίκει enim videtur esse nonnisi ejus, qui in aliena terra inter-

οὐκ ὀρθῶς τὴν δίκην ἔκρινε; ταῦτα ἢ τί ἐροῦμεν; ΚΡ. Ταῦτα νὴ Δία, ὦ Σώκρατες. ΣΩ. Τί οὖν; ἂν εἴποσιν οἱ 12
νόμοι· Ὦ Σώκρατες, ἦ [1] καὶ ταῦτα ὡμολόγητο ἡμῖν τε καὶ σοί, ἢ ἐμμένειν ταῖς δίκαις αἷς ἂν ἡ πόλις δικάζῃ [2]; εἰ οὖν αὐτῶν θαυμάζοιμεν λεγόντων, ἴσως ἂν εἴποιεν, ὅτι Ὦ Σώκρατες, μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ' ἀποκρίνου, ἐπειδὴ καὶ εἴωθας χρῆσθαι τῷ ἐρωτᾶν τε καὶ ἀποκρίνεσθαι. φέρε γὰρ τί ἐγκαλῶν ἡμῖν καὶ τῇ πόλει [3], ἐπιχειρεῖς ἡμᾶς b.
ἀπολλύναι; οὐ πρῶτον μέν σε ἐγεννήσαμεν ἡμεῖς, καὶ δι' ἡμῶν ἐλάμβανε [4] τὴν μητέρα σου ὁ πατὴρ, καὶ ἐφύτευσέ σε; φράσον οὖν, τούτοις ἡμῶν τοῖς νόμοις τοῖς περὶ τοὺς γάμους μέμφει [5] τι, ὡς οὐ καλῶς ἔχουσιν; Οὐ μέμφομαι, φαίην ἄν. Ἀλλὰ τοῖς περὶ τὴν τοῦ γενομένου τροφήν τε c.
καὶ παιδείαν, ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἦ [6] οὐ καλῶς προσέ-

interrogaretur, cur legibus patriae se subtraxisset; Socrates autem in ipso carceris limine Leges obviam sibi factas fingit. Sed videtur ita potius statuendum esse, respici isto imperfecto tempus judicii custodiaeque in hunc sensum: „contra omne jus fasque nobiscum agebat civitas, cum nos condemnaret et in carcere retineret, ideoque nunc huic nos injuriae subtraximus tandem". Verbum ἔκρινε autem sic quoque aoristum est.

1 Quae ad hunc locum sollicitandum olim prolata fuerunt hodie nihil attinet referre. Certissima enim est Fischeri ratio scripturam ἦ. καὶ praeferentis alteri ἦ καὶ, et pronomen ταῦτα referentis ad objurgationem illam, ἠδίκει ἡ πόλις etc. Καὶ ταῦτα, nimirum ut judicem ageres ipsius reip. legumque, atque ubi injustae tibi viderentur illis non pareres.

2 Sic e codd. longe plurimis nunc editur loco vulgati antea δικάζοι, quod habet Par. E, quodque videtur esse e correctione facta ob praecedens ὡμολόγητο. Sed de re durante conjunctivus saepe ponitur etiam in structura cum praeterito. Ipsum autem plusquamperfectum (nisi ex Fic. qui vertit *convenit*, perf. ὡμολόγηται reponendum censemus) hic quoque e tempore ante fugam dispiciendum est. Nos: *War das die Abrede?*

3 Bé. e codd. Par. BS inseruit τε post ἡμῖν: quod necessarium non videtur. Explicativum enim est καί hic ut supra 11. b. οἱ νόμοι καὶ τὸ κοινὸν τ. π.

4 Pro vulg. ἔλαβε Be. ex optimis ἐλάμβανε: quo imperfecto non solum actus simplex nanciscendi indicatur, sed via praescripta connubii legalis: qualis distinctio in seq. verbo φυτεύειν nihili foret et ridicula.

5 Formam att. praebuerunt Clark. et Ven. *II.*

6 Bekkero et Ullrichio ἦ corrigentibus quoniam ejus-

ταττον ἡμῶν οἱ ἐπὶ τούτοις [7] τεταγμένοι νόμοι, παραγγέλλοντες τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ γυμναστικῇ παι-
d. δεύειν [8]; Καλῶς, φαίην ἄν. Εἶεν· ἐπειδὴ δὲ ἐγένου τε καὶ ἐξετράφης καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν πρῶτον μέν, ὡς οὐχὶ ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος αὐτός τε καὶ οἱ σοὶ πρόγονοι; καὶ εἰ τοῦτο οὕτως ἔχει, ἆρ' ἐξίσου οἴει εἶναι σοὶ τὸ δίκαιον καὶ ἡμῖν, καὶ ἅττ' ἂν ἡμεῖς σὲ ἐπιχειρῶμεν ποιεῖν, καὶ σὺ ταῦτα ἀντιποιεῖν οἴει δίκαιον εἶναι [9];
e. ἢ πρὸς μὲν ἄρα σοι τὸν πατέρα οὐκ ἐξίσου ἦν τὸ δίκαιον [10], καὶ πρὸς δεσπότην [11], εἴ σοι ὦν ἐτύγχανεν, ὥςε

dem fere argumenti haec interrogatio est et quae praecedit, non accedo. Omni enim interrogationi, quae rem tanquam incertam proponit, alia, quae id quod ipse sentio tanquam certum significat, per ἤ adnectitur. Jam interrogatio οὐ καλῶς —; ut omnes novimus, idem valet quod citra interrogationem δῆλον, ὅτι καλῶς —. Itaque ἢ οὐ καλῶς —; idem est quod ἢ δῆλον, ὅτι καλῶς —; quam formulam nemo dubitabit quin illi alteri interrogationi apte hic subjungi potuisset.

7 Sic Clark. et praestantes alii. Ante Bekkerum, τούτῳ.

8 Laudat Forster ad hunc locum Aristot. Polit. 8, 3. Demosth. in Timarch. p. 261. Petit. Legg. Att. p. 162. et Spanh. ad Aristoph. Nubes 961. et 969. Addit Fischer Bulialdum ad Theonis Smyrn. Mathemat. p. 211. s.

9 Sic codd. Tub. Vind. et Paris. B, quibus accedit Paris. E, nisi quod hic habet ταῦτα καὶ σὺ — quem ordinem, in editis quoque translatum, jam olim ut minus efficacem alteri posthabui. Jam si quod dedimus vera est scriptoris manus, σύ hic per attractionem positum est ad verbum finitum οἴει, loco accusativi σέ ad infinitivum εἶναι. Conf. Gramm. §. 129. Obs. 3. Tamen ob hunc ipsum nominativum magnopere semper inclinabam in J. G. Schneideri conjecturam, δίκαιος pro δίκαιον. Nam ne e talibus fortasse exemplis qualia posui in Gramm. §. 138. I. 7. colligas hanc loquendi formam usurpari nonnisi de *officio*, adeas Brunckium ad Aristoph. Plut. 1030. proferentem exempla adhibitae etiam de *jure* et *commodo*, ut Arist. Nub. 1283. πῶς οὖν ἀπολαβεῖν ταὐργύριον δίκαιος εἶ; A codicibus igitur hujus conjecturae confirmationem olim exspectabam. Sed ex iis qui hodie collati sunt optimi plurimique exhibent καὶ σοὶ ταῦτα — δίκαιον εἶναι: quorum auctoritatem secutus est Be. Nos, exempla hujus locutionis, δίκαιόν μοί ἐςι ταῦτα ποιεῖν, alia adhuc desiderantes, nihil in adoptata olim nobis lectione mutavimus. Ordinem certe trium primorum verborum satis stabilitum nunc habemus.

10 Nota hyperbaton: dativus enim σοί pertinet ad ἐξίσου ἦν.

11 Codd. opt. πρὸς τὸν δ. Nos differentiam quae est inter

ἅπερ πάσχοις [12], ταῦτα καὶ ἀντιποιεῖν, οὔτε κακῶς ἀκούον-
p. 51. τα ἀντιλέγειν, οὔτε τυπτόμενον ἀντιτύπτειν, οὔτε ἄλλα τοι-
αῦτα πολλά· πρὸς δὲ τὴν πατρίδα ἆρα καὶ τοὺς νόμους
ἐξέσαι σοι, ὥςε ἐάν σε ἐπιχειρῶμεν ἡμεῖς ἀπολλύναι, δίκαιον
ἡγούμενοι εἶναι, καὶ σὺ δὲ ἡμᾶς τοὺς νόμους καὶ τὴν πα-
τρίδα καθ' ὅσον δύνασαι ἐπιχειρήσεις ἀνταπολλύναι, καὶ
φήσεις ταῦτα ποιῶν δίκαια πράττειν, ὁ τῇ ἀληθείᾳ τῆς
ἀρετῆς ἐπιμελόμενος; ἢ οὕτως εἶ σοφὸς, ὥςε λέληθέ σε, ὅτι ἐ.
μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων
τιμιώτερόν ἐςι πατρὶς [13], καὶ σεμνότερον, καὶ ἁγιώτερον,
καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις
τοῖς νοῦν ἔχουσι; καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ
θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα; καὶ ἢ πείθειν,
ἢ ποιεῖν ἃ ἂν κελεύῃ, καὶ πάσχειν ἐάν τι προστάττῃ πα-
θεῖν, ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι, ἐάν τε δεῖσθαι; ἐάν g.
τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, ποιη-
τέον [14] ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει, καὶ οὐχὶ ὑπει-
κτέον, οὐδὲ ἀναχωρητέον, οὐδὲ λειπτέον τὴν τάξιν, ἀλλὰ καὶ
ἐν πολέμῳ καὶ ἐν δικαςηρίῳ καὶ πανταχοῦ ποιητέον ἃ ἂν
κελεύῃ ἡ πόλις καὶ ἡ πατρίς, ἢ πείθειν αὐτὴν, ᾗ τὸ δίκαιον
πέφυκε [15]; βιάζεσθαι δὲ οὐχ ὅσιον οὔτε μητέρα οὔτε πα-
τέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα [16]; τί φή-
σομεν πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ λέγειν τοὺς νόμους
ἢ οὔ; ΚΡ. Ἔμοιγε δοκεῖ. ΣΩ. Σκόπει τοίνυν, ὦ Σώκρα- 13
τες, φαῖεν ἂν ἴσως οἱ νόμοι, εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν,
ὅτι οὐ δίκαια ἡμᾶς ἐπιχειρεῖς δρᾶν, ἃ νῦν ἐπιχειρεῖς. ἡμεῖς

ter patrem, quem habent omnes, et dominum, qui hypothetice memoratur, delere noluimus.

12 Sic ex opt. et plur. pro πάσχεις.

13 Codd. Clark. Tab. aliique ἐςὶν ἢ π. minus bene. Vid. supra ad §. 8.

14 Ita opt. et plur.; vulgo ποιητέα, per se quidem et hoc recte: ob sequentia tamen illud praeferendum videtur.

15 Infinitivus πείθειν per anacoluthiam subjectus est illis ποιητέον etc. quasi praecessisset ποιεῖν δεῖ. Conf. Gorg. 104. et ibi Heind. Xenoph. Mem. 1, 5, 5.

16 Cic. ad Fam. 1, 9, 44. *Id enim jubet, idem ille Plato, quem ego vehementer auctorem sequor, tantum contendere in rep. quantum probare tuis civibus possis; vim neque parenti neque patriae afferre oportere.*

γάρ σε γεννήσαντες, ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάντων ὧν οἷοίτε ἦμεν καλῶν σοί τε καὶ τοῖς ἄλλοις πᾶσι πολίταις, ὅμως προαγορεύομεν, τῷ ἐξουσίαν πεποιηκέναι, Ἀθηναίων τῷ βουλομένῳ, ἐπειδὰν δοκιμάσῃ [1] καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα, καὶ ἡμᾶς τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβόντα τὰ αὑτοῦ ἀπιέναι ὅποι ἂν
b. βούληται. καὶ οὐδεὶς ἡμῶν τῶν νόμων ἐμποδών ἐστιν οὐδ' ἀπαγορεύει, ἐάν τέ τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι, εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις, ἐάν τε μετοικεῖν ἄλλοσέ ποι ἐλθὼν [2], ἰέναι ἐκεῖσε, ὅποι ἂν βούληται, ἔχοντα [3] τὰ αὑτοῦ. ὃς δ' ἂν ὑμῶν παραμείνῃ, ὁρῶν ὃν τρόπον ἡμεῖς τάς τε δίκας δικάζομεν, καὶ τἆλλα τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν, ἃ ἂν ἡμεῖς κελεύωμεν, ποι-
c. ήσειν ταῦτα. καὶ τὸν μὴ πειθόμενον, τριχῇ φαμεν ἀδικεῖν, ὅτι τε γεννήταις οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι, καὶ ὅτι ὁμολογήσας ἡμῖν [4] πείθεσθαι οὔτε πείθεται, οὔτε πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν, προτιθέντων ἡμῶν, καὶ οὐκ ἀγρίως p. 52.
ἐπιτάττοντων ποιεῖν ἃ ἂν κελεύωμεν, ἀλλὰ ἐφιέντων [5] δυ-
οῖν θάτερα, ἢ πείθειν ἡμᾶς ἢ ποιεῖν, τούτων οὐδέτερα
14 ποιεῖ [6]. ταύταις δή φαμεν καὶ σὲ, ὦ Σώκρατες, ταῖς αἰτίαις ἐνέξεσθαι, εἴπερ ποιήσεις ἃ ἐπινοεῖς· καὶ οὐχ ἥκιστα Ἀθηναίων σὲ, ἀλλ' ἐν τοῖς μάλιστα. εἰ οὖν ἐγὼ εἶπον, διὰ

1 Codd. omnes, praeter Ven. Ξ, *δοκιμασθῇ*; quod mendosum censeo.

2 v. Ind. in *Ἀποικία*.

3 Sic codd. opt. et plur. Vulgo *ἔχων* cujus sive attractionis (a verbo *βούληται*) sive anacoluthiae causam legitimam nullam agnosco.

4 Bc. e Coisl. aliisque *ἢ μὴν*; idemque in Clark. superscriptum vulgato *ἡμῖν*, quod post eandem in superioribus vocem languidum sane videtur prae gravi illo *ἢ μήν*. Nolui tamen mutare, quoniam aliud quoque est de quo dubito. Quippe praesens *πείθεσθαι* sive cum illa asseverandi formula sive sine ea, post *ὁμολογεῖν*, *promittendi* significatione, suspectum mihi quidem est, veramque Platonis manum fuisse puto, *ὁμολογήσας ἢ μὴν πείσεσθαι*. Vid. mox ad §. 14.

5 Cf. ad Alc. I. 5. extr.

6 Sic omnes libri editi. Ficinus quidem vertit: *tu horum neutrum facis*; ita ut legisse videatur *ποιεῖς*. Sed recte legitur *ποιεῖ*, estque in his verbis iteratio sermonis ejusmodi, qualem tetigit Heindorfius ad Theaet. 73. Vid. simile exemplum infra Alcib. II. 1. (*εὔξασθαι — κατηρᾶτο*.)

1 Me-

τί δή; ἴσως ἄν μου δικαίως καθάπτοιντο, λέγοντες, ὅτι ἐν τοῖς μάλιστα Ἀθηναίων ἐγὼ αὐτοῖς ὡμολογηκὼς τυγχάνω ταύτην τὴν ὁμολογίαν. φαῖεν γὰρ ἄν, ὅτι Ὦ Σώκρατες, με- b.
γάλα ἡμῖν τούτων τεκμήρια ἔστιν, ὅτι σοι καὶ ἡμεῖς ἠρέσκομεν καὶ ἡ πόλις· οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, εἰ μή σοι διαφερόντως ἤρεσκε· καὶ οὔτ' ἐπὶ θεωρίαν πώποτε ἐκ τῆς πόλεως ἐξῆλθες, ὅτι μὴ ἅπαξ εἰς Ἰσθμόν, οὔτε ἄλλοσε οὐδαμόσε, εἰ μή ποι στρατευσόμενος, οὔτε ἄλλην ἐποιήσω ἀποδημίαν πώποτε, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι [1]. οὐδ' ἐπιθυμία c.
σε ἄλλης πόλεως οὐδ' ἄλλων νόμων ἔλαβεν ἰδέναι [2], ἀλλὰ ἡμεῖς σοι ἱκανοὶ ἦμεν, καὶ ἡ ἡμετέρα πόλις· οὕτω σφόδρα ἡμᾶς ἤρου, καὶ ὡμολόγεις καθ' ἡμᾶς πολιτεύσεσθαι [3], τά

1 Meminit hujus loci Athenaeus 5, 15. p. 216., et Platonem reprehendit, quod dicat hic, Socratem nunquam peregre profectum, praeterquam cum se contulisset ad Isthmum; et tamen in Apologia 17, et Sympos. 35. tradat, eum militasse ἐν Ποτιδαίᾳ καὶ ἐν Ἀμφιπόλει καὶ ἐπὶ Δηλίῳ. v. Laert. 2, 22. s. Verba Athenaei haec sunt: Ἐν δὲ τῷ Κρίτωνι ὁ τῇ μνημοσύνῃ φίλος Πλάτων οὐδὲ ποιῆσασθαί ποτε ἀποδημίαν τὸν Σωκράτην ἔξω τῆς εἰς Ἰσθμὸν πορείας εἴρηκεν. At Casaubonus observat, Athenaeum aut non habuisse in exemplo Critonis suo verba εἰ μή ποι στρατ., aut ea certe in Excerptis suis, ut fit, praetermisisse. Alia hujusmodi Grammaticorum veterum negligentiae exempla habent Hutchinsonus ad Xen. Anab. p. 301. min., Wesseling. ad Diod. Sic. p. 527. To. 1. Gesner. ad Lucian. p. 866. To. 2. Ceterum quanquam Plato Phaedrum quoque in cognomine dialogo p. 230. d. ita loquentem cum Socrate facit, οὕτως ἐκ τοῦ ἄστεος οὔτ' εἰς τὴν ὑπερορίαν ἀποδημεῖς, οὔτ' ἔξω τείχους ἔμοιγε δοκεῖς τὸ παράπαν ἐξιέναι [vid. et Meno. 13.]: tamen Laertius 2, 23, auctoribus aliis alia omnia de Socrate refert: Ἴων δὲ ὁ Χῖος καὶ νέον ὄντα εἰς Σάμον σὺν Ἀρχελάῳ ἀποδημῆσαι· καὶ Πυθῶδε ἐλθεῖν Ἀριστοτέλης φησίν. *FISCHER.* Archelai in Macedoniam eum invitantis aliorumque itidem principum promissa ipsum neglexisse referunt Seneca, Laertius, Libanius, alii. *FORSTER.* Verba ὅτι μὴ ἅπαξ εἰς Ἰσθμόν desunt in praestantibus codd. Ven. *II*, Vind. 2. Tub. Paris. D S, Huet., in Clarkiano autem margini allita sunt. Notabile etiam est, hoc Socratis in Isthmum iter a Diogene La. 2, 23, non e Platonis hoc loco sed e Favorini Commentariis memorari.

2 Sc. αὐτούς, ad cognoscendas eas. Infinitivus ex genere eorum de quibus vid. Gramm. §. 127, 2.

3 Ter intra parvum spatium Stephanus dedit πολιτεύσεσθαι, quod Bekker auctoritate librorum suorum ter in praesens mutavit. Nos primo et tertio loco, ubi infinitivus

τε ἄλλα καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡς ἀρεσκούσης σοι d. τῆς πόλεως. ἔτι τοίνυν ἐν αὐτῇ τῇ δίκῃ ἐξῆν σοι φυγῆς τι-

tivus pendet a verbo ὁμολογεῖν, futurum servavimus, secundo autem, ubi a ξυντίθεσθαι, praesens adoptavimus. Non quo praesens in illis quoque locum habere posse praefracte negemus; sed quoniam in re non usquequaque certa, rationem aliquam sequi necesse est. Nimirum haud rarenter quidem a viris doctis annotatum est, in sententiis *promittendi, sperandi, expectandi* infinitivum aoristi quoque et praesentis loco futuri adhiberi: sed in exemplis non satis interdum distinxerunt iidem quae distinguenda tamen erant. Quippe secernenda imprimis sunt illa verba quibus notio ipsa promittendi, sperandi, expectandi inest, ut h. l. συντίθεσθαι, ut ἐλπίζειν, ἐλπὶς ἔχει, ut προσδοκᾶν, ἐπιδοξον εἶναι et sim. Haec enim omnia infinitivum futuri non respuunt quidem, immo crebrius fortasse asciscunt; sed quoniam sua natura futuras potissimum res spectant, sine perspicuitatis damno infinitivus etiam *praesentis* cum res duratura significanda est, aut *aoristi*, cum res cito absolvenda, his quidem verbis subjungitur. Vid. Heind. ad Phaedo. 32. Lobeck. ad Phryn. p. 133. Contra si verba ejusmodi qualia sunt οἴεσθαι, φάναι, ὁμολογεῖν loco illorum usurpantur, ratio poscit proprie ut sensus expectandi, sperandi, promittendi *addito futuro* declaretur: nam e. g. ὁμολογεῖς οὕτως ἔχειν, ὁμολογεῖς παραγενέσθαι longe aliud sonant quam si eidem verbo futurum addas: quare ὁμολογεῖν sensu promittendi cum futuro e consuetudine linguae est, ut cognoscas ex Stephani Thes., Sturz. Lex. Xenoph. etc. Neque tamen haec regula statui potest: sat multa enim sunt exempla horum quoque verborum cum aoristo vel praesenti loco futuri structorum; quorum aliquot apposuit Heind. ad Protag. 19. Qualia ubi plura collecta erunt, certius fortasse dignoscentur ea, in quibus per nexum verborum futurum satis declaratur (conf. dicta infra ad Alcib. I. 4. c.), ab iis in quibus per aliquam usus negligentiam tempora non satis distinguuntur, et ab iis denique quae mendosa sunt, librario in unius litterae differentia facile labente. Interim contra consensum codicum nihil mutandum est. Itaque recte Heind. in Euthyd. p. 278. c. ἐφάτην ἐπιδείξασθαι sensu promittendi, quod nunc etiam omnes Bekkeri codd. praebent, contra Stephani levem sane mutationem -εσθαι tuitus est; et nos modo (13. c.) ὁμολογήσας — πείθεσθαι intactum reliquimus, quamvis paucis retro versibus legatur ὡμολογηκέναι — ποιήσειν. Verum hoc de quo nunc cum maxime agimus loco a codd. destituti non sumus. Nam post verbum quidem ξυνέθου praesens est in omnibus Bekkeri codd. et in Clark.; ut fere diffidam Fischeri, qui ter futurum posuit, de cod. Tub. silentio. Sed in verbo ὁμολογεῖν utrobique futurum enotatum est ex parte codicum, et priori quidem loco ex magnae auctoritatis illo Clarkiano, posteriori, ex illo quidem, et qui ei sunt consoni fere, non, sed e septem aliis.

μήσασθαι [4], εἰ ἐβούλου, καὶ ὅπερ νῦν ἀκούσης τῆς πόλεως ἐπιχειρεῖς, τότε ἑκούσης ποιῆσαι· σὺ δὲ τότε μὲν ἐκαλλωπίζου, ὡς οὐκ ἀγανακτῶν, εἰ δέοι τεθνάναι σε, ἀλλ' ἡροῦ, ὡς ἔφησθα, πρὸ τῆς φυγῆς θάνατον· νῦν δὲ οὔτ' ἐκείνους τοὺς λόγους αἰσχύνει, οὔτε ἡμῶν τῶν νόμων ἐντρέπει [5], ἐπιχειρῶν διαφθεῖραι, πράττεις τε ἅπερ ἂν δοῦλος φαυλότατος [6] πράξειεν, ἀποδιδράσκειν ἐπιχειρῶν παρὰ τὰς ξυνθήκας τε καὶ τὰς ὁμολογίας, καθ' ἃς ἡμῖν ξυνέθου πολιτεύεσθαι. πρῶ- e.
τον μὲν οὖν ἡμῖν τοῦτ' αὐτὸ ἀπόκριναι, εἰ ἀληθῆ λέγομεν, φάσκοντές σε ὡμολογηκέναι πολιτεύσεσθαι καθ' ἡμᾶς ἔργῳ, ἀλλ' οὐ λόγῳ· ἢ οὐκ ἀληθῆ; τί φῶμεν πρὸς ταῦτα, ὦ Κρίτων; ἄλλο τι ἢ ὁμολογῶμεν; ΚΡ. Ἀνάγκη, ὦ Σώκρατες. ΣΩ. Ἄλλο τι οὖν ἂν φαῖεν [7] ἢ ξυνθήκας τὰς πρὸς f.
ἡμᾶς αὐτοὺς καὶ ὁμολογίας παραβαίνεις; οὐχ ὑπ' ἀνάγκης ὁμολογήσας, οὐδὲ ἀπατηθείς, οὐδὲ ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθεὶς βουλεύσασθαι· ἀλλ' ἐν ἔτεσιν ἑβδομήκοντα, ἐν οἷς ἐξῆν [8] σοι ἀπιέναι, εἰ μὴ [9] ἠρέσκομεν ἡμεῖς, μηδὲ δίκαιαι ἐφαίνοντό σοι αἱ ὁμολογίαι εἶναι. σὺ δὲ οὔτε Λακεδαίμονα g.
προῃροῦ, οὔτε Κρήτην, ἃς δὴ ἑκάστοτε [10] φῂς εὐνομεῖσθαι,
p. 53. οὔτε ἄλλην οὐδεμίαν τῶν Ἑλληνίδων πόλεων, οὐδὲ τῶν

4 *Τιμᾶν* cum dativo personae et genit. poenae verbum est proprium de *litis aestimatione*, cum poena definitur in reum. Hinc *τιμήσασθαι* valet sibi ipsum poenam statuere. Conf. Indicem Graecit. Demosth. et de hac ipsa Socratis lite Plat. Apol. Socr. p. 36. b. p. 37. b. Licebat autem per leges Atheniensium reo in judiciis capitalibus plerisque, antequam in custodiam mitteretur, judicio se subtrahere atque exilio sese multare voluntario. Vid. supr. 5. not. 4.

5 Formam atticam in utroque verbo praeter Priscianum (vid. ad §. 4.) praebuit cod. Clark.

6 Articulum ὁ ante *φαυλ.* omisi cum Clark. Tub. cet.

7 Particulam *ἄν*, quae in omnibus codicibus est, antiquiores editores neglexerant. Junge *φαῖεν ἄν*, Ἄλλο τι οὖν ἢ —.

8 Vulg. *ἦν*. Sed *ἐξῆν* omnes praeter Coisl. Itaque quod olim interpretamentum mihi visum erat nunc cum Be. reposui.

9 Boni quidem codices dant *εἴπερ δὴ μὴ*: sed Clark. et a prima manu Ven. *Η* vulgatam firmant.

10 Utriusque civitatis instituta laudat Socrates in libr. de Rep. 8. p. 544. c. et in Protag. p. 342. c. Adde de Lacedaemoniis dicta in Alcib. I. 36.

11 Sic

βαρβαρικῶν [11]· ἀλλ' ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησας ἢ οἱ χωλοί τε καὶ τυφλοὶ καὶ οἱ ἄλλοι ἀνάπηροι. οὕτω σοι διαφερόντως τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις τε καὶ ἡμεῖς οἱ νόμοι δηλονότι [12]. τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων; νῦν δὲ δὴ οὐκ ἐμμενεῖς τοῖς ὁμολογημένοις [13]; ἐὰν

11 Sic pro vulg. βαρβάρων. Clark. Tub. Vind. 2. Paris. δ, Huet. e quibus Vind. 2. etiam Ἑλληνικῶν: fortasse hoc quoque hic quidem verius. Tum olim quater hic legebatur οὔτε. Sed recte inde a Fischero ultimo loco nunc editur οὐδέ, quoniam hoc non refertur ad proximum οὔτε, sed comprehenditur ab isto una cum illo οὐδεμίαν. At minus bene Wolfius etiam primo loco e Parisinis aliquot rescripsit οὐδέ. Hoc enim sic in fronte collocatum valeret *ne quidem:* post hanc autem negationem alia, quae sensum non auget, sed minuit (οὔτε ἄλλαι), locum non habet.

12 Stephanus glossatoris esse putabat οἱ νόμοι δηλονότι. Et vero habet haec opinio, quo se non mediocriter commendet. Fischerus vero ea Platoni vindicare studet; et cum alias affert rationes, tum hanc etiam efficacissimam, sublatis his nullam fere vim habere quae sequuntur, τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων; Quid vero si haec verba una cum illis expungenda judicemus? Additur quidem fere οἱ νόμοι post ἡμεῖς, ut pag. (Steph.) 50. a. 51. d. 54. a. sed idem saepenumero omittitur, et quidem eadem, quae in hoc loco est, sententia p. 51. d. 52. b. *HEUSD.* Omnis glossematis suspicio inde nata est, quod verba, οἱ νόμοι δηλονότι ad explicandum illud ἡμεῖς adjecta putarentur, quae sane sive ab ipsis legibus loquentibus addita, sive a Socrate interjecta, nullo modo ferenda essent. Atqui si naturam locutionis δηλονότι, quam apud antiquiores servat ubique, considerassent viri docti neminem fugisset haec verba ita considerandа esse, ac si scriptum esset

οὕτω σοι διαφερόντως — ἤρεσκεν ἡ πόλις τε καὶ ἡμεῖς οἱ νόμοι δῆλον ὅτι·

h. e. δῆλον, ὅτι καὶ ἡμεῖς οἱ νόμοι ἠρέσκομέν σοι. Cui sic demum aptissime subjicitur illud τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων; — Sic noster in Euthyd. 43. Οὐδὲ μὴν αὐλοποικῆς γε δηλονότι δεόμεθα. h. e. Δῆλον δέ, ὅτι οὐδὲ — δεόμεθα. Et in Symp. p. 195. a. Μέγα δὲ τεκμήριον τῷ λόγῳ αὐτὸς παρέχεται φεύγων φυγῇ τὸ ῥᾳρας, ταχὺ ὂν δηλονότι h. e. ταχὺ ὄν, δῆλον ὅτι, vel prolixius: δῆλον γὰρ, ὅτι ταχὺ ὂν τὸ ῥᾳρας φεύγει· quibus verbis, plane ut in nostro loco, ratio statim subjicitur cur ita de senectute statuatur: θᾶττον γοῦν τοῦ δέοντός ἡμῖν προσέρχεται. Adde uberius disputata in indice in δηλονότι. Merito igitur Heusdius reprehensus ab Heindorfio (ad Euthyd. l. l.): qui locum nostrum, quod in schedis ejus mecum communicatis video, dudum illo quem proposuimus modo accepit.

13 Libri omnes ἐμμένεις τοῖς ὁμολογημένοις, ἐὰν —: Steph. autem, Fic. versionem secutus, inseruit ἐμμενεῖς δὲ ante ἐάν. Sed Schleiermacher levis-

ἡμῖν γε πείθῃ, ὦ Σώκρατες· καὶ οὐ καταγέλαστός γε ἔσει [14], ἐκ τῆς πόλεως ἐξελθών. σκόπει γὰρ δή, ταῦτα παραβὰς, 15
καὶ ἕξαμαρτών [1] τι τούτων, τί ἀγαθὸν ἐργάσει σαυτὸν ἢ τοὺς ἐπιτηδείους τοὺς σαυτοῦ. ὅτι μεν γὰρ κινδυνεύσουσί γέ σου οἱ ἐπιτήδειοι [2] καὶ αὐτοὶ φεύγειν, καὶ στερηθῆναι τῆς πόλεως, ἢ τὴν οὐσίαν ἀπολέσαι, σχεδόν τι δῆλον. αὐ- b.
τὸς δὲ πρῶτον μὲν ἐὰν εἰς τῶν ἐγγύτατά τινα πόλεων ἔλθῃς, ἢ Θήβαζε ἢ Μεγάραδε· εὐνομοῦνται γὰρ ἀμφότεραι· πολέμιος ἥξεις, ὦ Σώκρατες, τῇ τούτων πολιτείᾳ· καὶ ὅσοι-περ κήδονται τῶν αὑτῶν πόλεων, ὑποβλέψονταί σε, διαφθορέα ἡγούμενοι τῶν νόμων· καὶ βεβαιώσεις τοῖς δικασταῖς τὴν δόξαν, ὥσε δοκεῖν ὀρθῶς τὴν δίκην δικάσαι. ὅστις γὰρ νόμων διαφθορεύς ἐστι, σφόδρα που δόξειεν ἂν νέων γε καὶ ἀνοήτων ἀνθρώπων διαφθορεὺς εἶναι. πότερον οὖν c.
φεύξει τάς τε εὐνομουμένας πόλεις καὶ τῶν ἀνδρῶν τοὺς κοσμιωτάτους; καὶ τοῦτο ποιοῦντι ἆρα ἄξιόν σοι ζῆν ἔσται; ἢ πλησιάσεις τούτοις, καὶ ἀναισχυντήσεις διαλεγόμενος; τίνας λόγους, ὦ Σώκρατες; ἢ οὕσπερ [3] ἐνθάδε, ὡς ἡ ἀρετὴ καὶ δικαιοσύνη πλείστου ἄξιον τοῖς ἀνθρώποις, καὶ τὰ νόμιμα καὶ οἱ νόμοι; καὶ οὐκ οἴει ἄσχημον ἂν φανεῖσθαι [4]

vissima vel nulla potius mutatione antiquiorem scripturam juvit, cujus rationem jam olim secuti sumus antequam sciremus in Clark. correctum esse *ἐμμενεῖς* a manu secunda. Nimirum ante illa *ἐάν γε* —, quibus sibi ipsae respondent leges, mente repetendum ex ipsa interrogatione, *ἀλλ' ἐμμενεῖς*.

14 Formam in *ει* praeter Clarkianum hic Angelicus quoque codex dabat: in ceteris, hinc usque ad finem dialogi ille solus eam praebuit.

1 Codd. optimi *ἐξαμαρτάνων*.

2 Vid. Ind. Lat. in v. *Genitivus*. — Mox *Μεγαράδε* contra codd. scribere nolui.

3 Legebatur olim uno tenore, *καὶ ἀναισχυντήσεις διαλεγόμενός τινας λόγους, ὦ Σ., ἢ οὕσπερ ἐνθάδε —*; quod cum intelligi commode non posset, praeferebam olim eam lectionem quam et Eusebius (Praep. Eu. 13, 9. p. 658.) et nunc Platonis etiam codices aliquot praebent. Sed reperta simul, quam vel solus ille vocativus *ὦ Σώκρατες* indicare nobis debebat, in optimis hodie codicibus scriptura *τίνας*, jure hanc Be. in ordinem recepit, deque vera Platonis manu nulla amplius opinor cuiquam dubitatio esse potest.

4 Particulam *ἄν* quam codices, non quidem Clarkianus, sed praestantissimi alii Ven. *II*, Tub. Huet. cet. praebent, non haesitantes nos quoque nunc inseruimus. Nam

d. τὸ τοῦ Σωκράτους πρᾶγμα; οἴεσθαί γε χρή. ἀλλ' ἐκ μὲν τούτων τῶν τόπων [5] ἀπαρεῖς, ἥξεις δὲ εἰς Θετταλίαν παρὰ τοὺς ξένους τοὺς Κριτώνος [6]. ἐκεῖ γὰρ δὴ πλείστη ἀταξία καὶ ἀκολασία [7]. καὶ ἴσως ἂν ἡδέως σου ἀκούοιεν, ὡς γελοίως ἐκ τοῦ δεσμωτηρίου ἀπεδίδρασκες σκευήν τέ τινα [8] περιθέμενος, ἢ διφθέραν λαβών, ἢ ἄλλα οἷα δὴ εἰώθασιν ἐνσκευάζεσθαι οἱ ἀποδιδράσκοντες, καὶ τὸ σχῆμα τὸ σαυτοῦ
e. μεταλλάξας. ὅτι δὲ γέρων ἀνὴρ, σμικροῦ χρόνου τῷ βίῳ λοιποῦ ὄντος ὡς τὸ εἰκὸς, ἐτόλμησας οὕτω γλίσχρως ἐπιθυμεῖν ζῆν νόμους τοὺς μεγίστους παραβὰς, οὐδεὶς ὃς ἐρεῖ; ἴσως, ἂν μήτινα λυπῇς· εἰ δὲ μὴ [9], ἀκούσει, ὦ Σώκρατες,
f. πολλὰ καὶ ἀνάξια σαυτοῦ. ὑπερχόμενος [10] δὴ πάντας ἀνθρώπους βιώσει καὶ δουλεύων. τί ποιῶν ἢ εὐωχούμενος ἐν Θετταλίᾳ [11], ὥσπερ ἐπὶ δεῖπνον ἀποδεδημηκὼς εἰς Θετταλίαν; λόγοι δὲ ἐκεῖνοι οἱ περὶ δικαιοσύνης τε καὶ τῆς ἄλλης ἀρετῆς· ποῦ ἡμῖν ἔσονται; ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βού- p. 54.

Nam etiam Futuro, quoties certitudo deroganda est, addi hanc particulam satis hodie notum est. Vid. Heind. ad Phaedo. 13. Dindorf in Comment. de Partic. ἄν (post Aristoph. Nub.) p. 100. Cui tamen, cum putat fiduciam praedicentis hac particula exprimi, equidem non accedo. Hoc enim fit oratione figurata, non vi particulae, quae sicut germ. *wol*, eo ipso quod revera nonnisi verisimilitudinem indicat, figurate inservit etiam fiduciae.

5 Sic Be. ex optimis libris. Ceteri *πόλεων*.

6 Ita Cod. Tub. et a manu prima Ven. *Π*. Vulgo *τ. ξ. τοῦ Κρ.*

7 Vid. de Thessalorum ejus temporis licentia et vitiis Athenaeus p. 137. 418. 527. 663. Kuhnius ad Polluc. 7, 112. p. 768. Philostr. Vit. Soph. 1, 16. Schol. Aristoph. Plut. 521. FISCHER. Cf. Men. 1. not. 2.

8 *Τέ* ante *τινά* in omnibus codd. repertum est. Jungendum autem non, quod alibi recte fit, *τε — ἤ —*, sed ut recte monet Ullrichius *σκευὴν τε τ. περιθέμενος καὶ τὸ σχῆμα μεταλλάξας*. Illa autem *ἤ — ἤ* — varias *τῆς σκευῆς* species indicant.

9 *Εἰ δὲ μή, sin minus*, notissima formula, post negationes etiam adhibita, ubi valet *alias, contra;* v. Gramm. §. 135. Obs. 10.

10 Vid. Ind.

11 Merito offendebat Schleiermacher in isto *τί ποιῶν*; quod non bene cohaeret cum praecedd. maxime post priora illa participia. Acute itaque idem participium *δουλεύων* e glossemate verbi *ὑπερχόμενος* irrepsisse suspicabatur, ut scripserit Plato *ὑπερχόμε-*

λει ζῆν, ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς; τί δαί; εἰς g.
Θετταλίαν αὐτοὺς ἀγαγὼν θρέψεις τε καὶ παιδεύσεις ξένους
ποιήσας, ἵνα καὶ τοῦτό σου ἀπολαύσωσιν; ἢ τοῦτο μὲν οὔ,
αὐτοῦ δὲ τρεφόμενοι σοῦ ζῶντος βέλτιον θρέψονται καὶ
παιδεύσονται, μὴ ξυνόντος σου αὐτοῖς; οἱ γὰρ ἐπιτήδειοι
οἱ σοὶ ἐπιμελήσονται αὐτῶν. πότερον ἐὰν [12] μὲν εἰς Θετ-
ταλίαν ἀποδημήσῃς, ἐπιμελήσονται, ἐὰν δὲ εἰς ᾅδου ἀποδη-
μήσῃς, οὐχὶ ἐπιμελήσονται; εἴπερ γέ τι ὄφελος αὐτῶν ἔστι
τῶν σοι φασκόντων ἐπιτηδείων εἶναι, οἴεσθαί γε χρή. Ἀλλ', 16
ὦ Σώκρατες, πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι, μήτε παῖ-
δας περὶ πλείονος ποιοῦ, μήτε τὸ ζῆν, μήτε ἄλλο μηδέν,
πρὸ τοῦ δικαίου· ἵνα εἰς ᾅδου ἐλθὼν ἔχῃς ταῦτα πάντα
ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν. οὔτε γὰρ ἐνθάδε σοι
φαίνεται ταῦτα πράττοντι ἄμεινον εἶναι [1] οὐδὲ δικαιότερον
οὐδὲ ὁσιώτερον, οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί· οὔτε ἐκεῖσε
ἀφικομένῳ ἄμεινον ἔξει. ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει, ἐὰν b.
ἀπίῃς, οὐχ ὑφ' ἡμῶν τῶν νόμων, ἀλλ' ὑπ' ἀνθρώπων· ἐὰν
δὲ ἐξέλθῃς οὕτως αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουρ-
γήσας, τὰς σαυτοῦ ὁμολογίας τε καὶ ξυνθήκας τὰς πρὸς
ἡμᾶς παραβάς, καὶ κακὰ ἐργασάμενος τούτους οὓς ἧκιστα
ἔδει, σαυτόν τε καὶ φίλους καὶ πατρίδα καὶ ἡμᾶς, ἡμεῖς τέ
σοι χαλεπανοῦμεν ζῶντι, καὶ ἐκεῖ οἱ ἡμέτεροι ἀδελφοί, οἱ
ἐν ᾅδου νόμοι, οὐκ εὐμενῶς σε ὑποδέξονται εἰδότες ὅτι καὶ
ἡμᾶς ἐπεχείρησας ἀπολέσαι, τὸ σὸν μέρος. ἀλλὰ μή σε πεί-
σῃ Κρίτων ποιεῖν ἃ λέγει, μᾶλλον ἢ ἡμεῖς. Ταῦτα, ὦ φίλε 17
ἑταῖρε Κρίτων, εὖ ἴσθι ὅτι ἐγὼ δοκῶ ἀκούειν, ὥσπερ οἱ

χόμενος — καὶ τί ποιῶν —. Cui tamen rationi obstare videbatur istud *ἐν Θετταλίᾳ*, perquam ineommode in finem sententiae longioris rejectum. Atque ecce codicem Vind. 2. qui loco horum verborum habet *εἰς Θετταλέαν*, iisdem verbis post *ἀποδεδ.* omissis. Qua scriptura cum Schleiermacheri ratione conjuncta omnes salebrae tam feliciter tolluntur, ut nihil dubitem, veram hanc esse Platonis manum: *ὑπερχόμενος δὴ βιώσει πάντας ἀνθρώπους, καὶ τί ποιῶν ἢ εὐωχούμενος, εἰς Θετταλίαν ὥσπερ ἐπὶ δεῖπνον ἀποδεδημηκώς;* Hic enim verborum *βιώσει πάντας ἀνθρώπους* ordo a Be. receptus, in praestantissimis est codd. Clark. Tub. cet. et ap. Eusebium.

12 Eusebius *πότερον δὲ ἐὰν —*, Ficinus *Utrum vero*. Sed fortior mihi quidem videtur oratio sine particula adversativa.

1 v. Ind. *ἄμεινον*.

1 Ti-

κορυβαντιῶντες [1] τῶν αὐλῶν δοκοῦσιν ἀκούειν· καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ, καὶ ποιεῖ μὴ δύνασθαι τῶν [2] ἄλλων ἀκούειν. ἀλλὰ ἴσθι, ὅσα γε τὰ νῦν ἐμοὶ δοκοῦντα, ἐάν τι λέγῃς παρὰ ταῦτα, μάτην ἐρεῖς. ὅμως μέντοι εἴ τι οἴει πλέον ποιήσειν, λέγε. ΚΡ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω λέγειν. ΣΩ. Ἔα τοίνυν, ὦ Κρίτων, καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται.

1 Timaeus: *Κορυβαντιᾷν· παρεμμαίνεσθαι καὶ ἐνθουσιαζικῶς κινεῖσθαι.* Nimirum *Κορύβαντες* fuere sacerdotes Matris deum in Phrygia, qui saltabant deo pleni. Strab. 10. p. 725. Unde *κορυβαντιᾷν* est *laborare morbo*, qui *κορυβαντιασμός, morbus imaginosus*, vocatur, cum aures videntur personare tibiarum cantu: qui morbus putabatur proficisci a Corybantibus. *FISCH.* Horat. 1. Ep. 1, 7. *Est mihi purgatam crebro qui personet aurem.* Quem locum cum hoc Platonico comparat Lambinus. Proprie verbum de aegrotis, qui tibiarum sonum sibi audire visi quasi furiis agitantur et vexántur insomniis, usurpari solitum egregie docuit Jos. Scaliger ad Catull. 38. et Animadv. in Euseb. p. 27. Cujus sententiam pluribus confirmavit Salmasius Exerc. Plin. p. 764. et P. Petit ad Aretae. p. 174. Hanc *τῶν κορυβαντιώντων* insomniam veteres musica curasse tradit Philosophus noster Legg. 7. p. 628. d. [Ed. Steph. p. 790. d.] *RUHNK.* ad Tim. l. l.

2 Cod. Tub. articulum omittit: rectius fortasse.

EXCURSUS I. *ad* §. 8. *d.*

In edd. ant. sine sensu, ac mero ut videtur Aldinae sphalmate, scriptum erat *ὅμ. εἶναι τῷ προτέλους*, pro quo Stephanus edidit *τῷ προτέρῳ*, quae lectio est codicum Vind. et Ven. Ξ, quamque sequitur Fic. qui habet: *haec ratio, quam percurrimus superiori similis esse videtur.* Jam quicquid de verbis statuamus de sensu dubii esse non possumus: quippe *οὗτος ὁ λόγος ὃν διεληλύθαμεν* alius esse non potest quam ille de quo adhuc egerat Socrates, de vulgi opinionibus. De altero autem nunc demum proposito, de vitae amore, idem cum dicat haec, *καὶ τόνδε αὖ σκόπει, εἰ ἔτι μένει ἡμῖν*: apparet, sensum illorum quoque verborum, *δοκεῖ ὅμοιος εἶναι τῷ προτέρῳ*, esse debere hunc „nihil differre ea quae nunc de vulgi opinionibus disputarint, ab iis quae *de eadem materia olim.*" Atqui

Atqui nemo haec ita intelligere poterat, cum verba τῷ πρότέρῳ aliam potius paulo ante factam disputationem significare videantur. Quare cum supra §. 6. in universum haec praemiserit Socrates, ὅμοιοι φαίνονταί μοι (οἱ λόγοι), καὶ τοὺς αὐτοὺς πρεσβεύω, οὕσπερ καὶ πρότερον; longe commodior cuique hic videbitur lectio codicum opt. Clark. Ven. *II*, Tub. aliorum, τῷ καὶ πρότερον, quam et adoptavit Bekker. Sed neutiquam negligendus erat locus Prisciani l. 18. p. 1192. Putsch. *Attici*, inquit, ὅμοιός ἐστι λόγος καὶ πρότερον. Πλάτων Κριτωνι, Ἀλλ' ὦ θαυμάσιε αὐτός τε ὁ λόγος ὃν διεληλύθαμεν ἔμοιγε δοκεῖ ἀνόμοιος εἶναι καὶ ὁ πρότερος· ἀντὶ τοῦ οἷος πρότερον, *et nota quod ex hujusmodi structura graeca frequenter Latini* AC *et* ATQVE *in significatione similitudinis accipiunt, ut* similis est haec oratio atque ante. Apparet igitur fuisse jam olim hunc locum in exemplis constructionis vocabulorum similitudinis cum καί, de qua vid. Ind. in καί. Sed quod ex ipso Prisciani contextu olim docueram, depravata esse, contra grammatici mentem, ipsa Platonis verba, ac pro καὶ ὁ πρότερος iterum legendum esse καὶ πρότερον, illud nunc confirmatum est ope codicis Prisciani Monacensis, unde Krehlius in sua grammatici editione ita nunc illa edidit: οὗτός τε ὁ λόγος ὃν διεληλύθαμεν ἔμοιγε δοκεῖ ὅμοιος εἶναι καὶ πρότερον. Atque illud etiam quod suspicatus eram, verba ista prout antehac ibi vulgata fuerant, derivata fuisse e Platonis aliquo exemplo per malam correctionem ita exhibente, id non minus certum est hodie. Nam non modo illud καὶ ὁ πρότερος legitur in cod. Coisl. aliisque; sed in cod. Paris. H totus locus cum omni varietate ita prostat ut e Putschio eum modo exhibuimus. Ne quis autem nimium nos tribuere putet Prisciano, reputandum est, graeca illum sibi, quibus uteretur, exempla non ipsum congessisse sed e graecis grammaticis longe antiquioribus mutuasse. Itaque non minus est manifestum, tempore Alexandrinorum grammaticorum locum hunc Platonis ita scriptum, ὅμοιος εἶναι καὶ πρότερον, in scholis, ut nobile constructionis hujus exemplum usurpatum fuisse. Habemus igitur lectionem hic antiquam quae in nullo tamen eorum, qui hodie superstites sunt, codice extat. Immo apparet, jam olim alios, loco minus tritae illius formae ὅμοιος καὶ πρότερον dativum desiderantes, inseruisse articulum τῷ, alios in neutro πρότερον haerentes correxisse καὶ πρότερος (Paris. B C), καὶ ὁ πρότερος, et τῷ πρότέρῳ. Illud etiam memorabile, vocem ἔτι quam e bonis codd. Ven. *II*, Huetiano, Par. D inseruit Bekker, itidem esse in Prisciano Monacensi: quanquam incertus est Krehlius, ἔστι ibi legatur an ἔτι. — Denique οὗτός τε, et mox καὶ τόνδε αὖ, cum Bekkero edidimus auctoritate codd. optimorum et ex priori parte

parte Prisciani: quanquam vulgatam lectionem *οὗτός γε —, καὶ τόνδε δὲ αὖ —*, non omnino malam esse censeamus. Sed praestare videtur artior hic junctura quae fit per *τε — καὶ —*: praemisso autem *τε* molesta est formula *καὶ — δέ*.

EXCURSUS II. *ad* §. 10. *a*.

Ἢ τινὶ μὲν ἀδικητέον τρόπῳ, τινὶ δὲ οὔ. Sic in antiquis edd. scriptum erat, neque quisquam de veritate ejus lectionis dubitasset, nisi Steph. pro *τινὶ μὲν* edidisset *τοὺς μὲν*, sine sensu, margini autem apposuisset haec: *Π.* (h. e. *πότερον*) *τρόπῳ τινὶ, τινὶ δὲ οὐ*. Mala haec utique erat conjectura: nam *τοὺς μὲν* manebat *ἀνταπόδοτον* et asciticium illud *τινὶ* suo *μέν* carebat. Sed eo minus dubitare quisquam poterat, illud, quod in textu ab eo positum erat, e codice aliquo fluxisse. Jam Forster quamvis veram et antiquam lectionem restituisset, turbas tamen auxit monendo, Stephani conjecturae „accedere quodammodo MS. Reg. habentem *τοὺς μὲν ἀδικητέον τρόπῳ τινὶ μέν, τινὶ δὲ οὔ*." Itaque ante codices rite inspectos nemo non putare poterat, esse aliquam cum vocibus *τοὺς μέν* in codd. varietatem de qua aliquo modo statuendum sit. At in XV quorum lectiones ante oculos hodie habemus codicibus (XIII Bekkerianis, Clark. et Tub.) nihil nisi antiqua illa scriptura reperta est, neque quicquam varietatis est apud Eusebium loco in notis laudato. Et mirum tamen fuisset, si Stephanus et Forster, qui nullam praeterea lectionem protulerunt quae non in parte tamen illorum hodie inventa sit, hic aliquid privum uterque habuerint. Sed nodum solvit Sallieri nota nunc demum attentius lecta. Sic enim ille: *Il y a une note marginale de Henri Etienne qui ne fait qu'indiquer une correction nécessaire pour former un sens net dans l'endroit où elle est placée. Est-il permis, demande Socrate, de faire injustice d'une certaine façon et d'une autre non? Il faut τρόπῳ τινὶ μέν, τινὶ δ' οὔ. Cette correction de H. E. est établie et confirmée par le manuscrit de la Bibl. du Roi.* Apparet Sallierum praeter Stephani textum cognitum habuisse nullum, illius autem in margine correctionem pro indicio tantum habuisse emendationis *τινὶ μέν* pro *τοὺς μέν*. Vides enim eum in sua horum verborum interpretatione nullam horum *τοὺς μέν* rationem habere. Hanc autem emendationem confirmatam dicit codice Regio. Nimirum ad manus habuit unum e codicibus illis qui antiquam darent lectionem et pro Stephani his *τοὺς μὲν* revera exhiberent *τινὶ μέν*: de quorum verborum collocatione securus reliquit illa ubi Stephanus posuerat suum *τινί*. Supervenit Forster. Is, ut ex praefatione ejus patet, nullum ipse codicem

ms.

ms. adhibuit sed „MS. Regii" nomine saepe allegat eum, de quo Sallierus in notis monuerat: non intellecta autem ea quam modo apposui Sallieri nota, Stephani istud τοὺς μέν et Sallieri τινὲ μέν in unam conflavit lectionem quam pro Codicis Regii scriptura venditavit. Ita turbae omnes natae ex illo τοὺς μέν quod, ut satis superque nunc patet, mero sphalmate in Stephani chartas irrepserat, cuique hic, dum plagulas festinanter emendaret, tanquam librorum lectioni conjecturam qualemcunque allevit. Haec omnia accuratius explicare opus erat, ne quis in posterum tempus perderet in varietate, quae nulla usquam est.

ΑΛΚΙΒΙΑΔΗΣ ΠΡΩΤΟΣ
Η
ΠΕΡΙ ΦΥΣΕΩΣ ΑΝΘΡΩΠΟΥ *).

Loquitur hic
SOCRATES cum
ALCIBIADE,
qui juvenis, elatus pulchritudine, divitiis, genere, etiam natura paulo ferocior, ad capessendam remp. accedere volebat. Socrates, sua methodo utens, ostendit eum non intelligere τὰ πολιτικὰ, quod ea nec didicerit, neque ipse invenerit. Tandem Alcibiade, conscientia et pudore stimulato, quidnam sibi sit faciendum quaerente, Socrates graviter urget aureum illud Nosce te ipsum. *Qui se ipsum i. e. animum non novit, is neque quidquam e rebus humanis tractare, neque felix esse poterit. Ergo non potentia et imperium, sed virtus primo loco quaerenda est.*

Hic dialogus quem auctores perantiqui et schola Platonica, recentior certe, omnis pro genuino habuit, his novissimis demum temporibus ex hac gentis litteratae opinione deturbatus est; cum Schleiermacher primus gravissimis per totum librum argumentis atque indiciis monstraverit, quantum modus et disserendi et disputandi et inveniendi a Platonis et more et ingenio dissideat: ita tamen ut non desint loci Platone digni, ipsaque disciplina a Platonis nequaquam abhorreat. Unde non temere colligas, multa quae Plato revera docuerit, quin lumina aliquot

*) Sic Diogenes Laert. 3, 59.

aliquot ex ejus disputationibus, a discipulo ejus aliquo in hunc libellum, formam Platonicorum operum imitantem, esse conjecta.

---

p.103 ΣΩΚΡΑΤΗΣ. Ὦ παῖ Κλεινίου [1], οἶμαί σε θαυμάζειν, ἅ ὅτι πρῶτος ἐραστής σου γενόμενος [2], τῶν ἄλλων πεπαυμένων, μόνος οὐκ ἀπαλλάττομαι· καὶ ὅτι οἱ μὲν ἄλλοι διʼ ὄχλου ἐγένοντό σοι διαλεγόμενοι, ἐγὼ δὲ τοσούτων ἐτῶν οὐδὲ προσεῖπον. τούτου δὲ τὸ αἴτιον γέγονεν οὐκ ἀνθρώ- b. πειον [3] ἀλλά τι δαιμόνιον ἐναντίωμα, οὗ σὺ τὴν δύναμιν καὶ ὕστερον πεύσει [4]· νῦν δʼ ἐπειδὴ οὐκέτι ἐναντιοῦται, οὕτω προσελήλυθα. εὔελπις δέ εἰμι καὶ τολοιπὸν μὴ ἐναντιώσεσθαι αὐτό [5]. σχεδὸν οὖν κατανενόηκα ἐν τούτῳ τῷ χρό- c. νῳ σκοπούμενος, ὡς πρὸς τοὺς ἐραστὰς ἔσχες. πολλῶν γὰρ γενομένων καὶ μεγαλοφρόνων οὐδεὶς ὃς οὐχ ὑπερβληθεὶς τῷ φρονήματι ὑπὸ σοῦ πέφευγε. τὸν δὲ λόγον, ᾧ ὑπερπεφρό- d.

1 *Clinias* Alcibiadis pater, secundum Herodotum 8, 17. Plut. Alcib. init., sumptu suo ac propria navi cum ducentis viris militavit ad Artemisium; occisus vero fuit in proelio ad Coroneam (v. infr. §. 18.). Matre usus est Alcibiades *Dinomache* (§. 5. et 40. Plut. l. c.). *Alcibiadis* Thucydides primum facit mentionem 5, 43. ad quem locum Duker de ejus aetate disputat, cum quo cf. Valckenar. ad Herod. p. 626. Cum Socrates hunc cum eo sermonem institueret, nondum implerat ille annos viginti (§. 41.). Tutorem habuit *Periclem* (§. 2.), et praeceptorem Sophilum, Antiphontis patrem, paedagogum autem Zopyrum quendam Thracem (§. 37). Mores ejus, praeter Platonem, adumbravit Diodorus Sic. 13. (p. 569. Wessel.) et Plutarch. (p. 192.) *GOTTLEBER.*

2 Cupiditate flagrabat Socrates cum adolescentibus colloquendi, ut eos redderet meliores. Cf. Plut. p. 193. De honesto vocis *ἐραστής* sensu egit Zennius ad Xenoph. Rep. Lac. 2, 12. *GOTTL.*

3 Sic Clark. et Vat. Vulgo *ἀνθρώπινον.* Monet autem Steph. jungi posse hanc vocem cum *ἐναντίωμα.*

4 Sic per *ει* Clark. et Vat. Atque sic per utrumque Alcibiadem Clarkianus in hac scriptura comites fere habet aliquot ex optimis, maxime Vaticanum. De qua re non amplius monebimus.

Scholium *παραπληρωματικός ἐστιν ὁ καὶ συνθέσμιος, ὡς καὶ παρʼ Ὁμήρῳ* (Il. β, 827.), *ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκεν.*

5 Ap. Procl. est *εἰμὶ μηδὲ τολοιπὸν ἐν. αὐτό.*

νήκας, ἐθέλω διελθεῖν. οὐδενὸς φῂς ἀνθρώπων ἐνδεὴς εἶναι p.104
εἰς οὐδέν· τὰ γὰρ ὑπάρχοντά σοι μεγάλα εἶναι, ὥστε μηδε-
νὸς δεῖσθαι, ἀπὸ τοῦ σώματος ἀρξάμενα [1], τελευτῶντα εἰς
2 τὴν ψυχήν. οἴει γὰρ δὴ εἶναι πρῶτον μὲν κάλλισός τε καὶ
μέγιστος [2]· καὶ τοῦτο μὲν δὴ παντὶ δῆλον ἰδεῖν, ὅτι οὐ
ψεύδει· ἔπειτα νεανικωτάτου γένους ἐν τῇ σεαυτοῦ πόλει,
οὔσῃ μεγίστῃ τῶν Ἑλληνίδων· καὶ ἐνταῦθα πρὸς πατρός τέ
σοι φίλους καὶ ξυγγενεῖς πλείστους εἶναι καὶ ἀρίστους, οἳ εἴτι
δέοι ὑπηρετοῖεν ἄν σοι [3]· τούτων δὲ τοὺς πρὸς μητρὸς οὐ-
b. δὲν χείρους οὐδ' ἐλάττους. ξυμπάντων δὲ ὧν εἶπον μείζω
οἴει σοι δύναμιν ὑπάρχειν Περικλέα τὸν Ξανθίππου, ὃν ὁ
πατὴρ ἐπίτροπον κατέλιπε σοί τε καὶ τῷ ἀδελφῷ· ὃς οὐ
μόνον ἐν τῇδε τῇ πόλει δύναται πράττειν ὅ,τι ἂν βούληται,
ἀλλ' ἐν πάσῃ τῇ Ἑλλάδι, καὶ τῶν βαρβάρων ἐν πολλοῖς
καὶ μεγάλοις γένεσι. προσθήσω δὲ καὶ ὅτι τῶν πλουσίων [4]·
c. δοκεῖς δέ μοι ἐπὶ τούτῳ ἥκιστα μέγα φρονεῖν [5]. κατὰ πάν-

1 V. Ind. ἄρχεσθαι.

2 Xenoph. Mem. 1, 2, 24. Plut. in vita ejus init.; Cornel. Alcib. 1.

3 Priscianus haec verba (πρὸς πατρὸς — ἄν σοι) et aliquot ex subsequentibus quoque locos apposuit lib. 18. c. 14. ubi in edd. Ald. Putsch. et aliis quibusdam ita fere leguntur ut in Platonis libris, Krehlius autem (ut ipse ait p. 160. not. 2.) ex illis ea repetivit. In notis vero novissimus hic editor eadem ita apposuit, ut in libris aliquot Prisciani editis aliis, et in mss. leguntur. Jam in his verbis, quae haec nota spectat, varietas ista ex editis ita comparata est, ut afferre pigeat, cum mihi certe exploratum sit natam esse ex male intellecta codicum scriptura, qualem, et quidem contaminatissimam, ex Langeriano codice apposuit Krehlius. Unde haud sane levis oritur suspicio etiam emendata illa quae hic et in proximis apud Aldum et ceteros leguntur non ex Prisciani sed ipsius Platonis libris hausta esse. Certe e septem codicibus quos in edendis postremis illis Prisciani libris contulit Krehlius (vid. Praef. tomi sec.), graeca exhibent nonnisi duo, ita tamen ut legi vix possint.

4 Cod. Cizensis προσθήσω δ' ὅτι καὶ τῶν πλουσίων, quod magis placet. De ellipsi autem verbi εἶ, quam non puto firmari posse nisi loco Homerico Od. σ, 126. Τοίου γὰρ καὶ πατρός, nunc dubito; nam cum menti adhuc inhaereant superiora illa: οἴει γὰρ δὴ εἶναι — κάλλισος —· ἔπειτα νεανικωτάτου γένους —: verba, προσθήσω δὲ καὶ ὅτι τῶν πλουσίων, veram ellipsin non patiuntur, sed intellectu e superioribus supplentur.

5 Sic Cl. Vat. Ven. Π: ed. Be. Vulgo μεγαλοφρ.

6 Duo

τὰ δὴ ταῦτα σύ τε μεγαλαυχούμενος κεκράτηκας τῶν ἐραστῶν, ἐκεῖνοί τε [6] ὑποδεέστεροι ὄντες, ἐκρατήθησαν. καί σε ταῦτ' οὐ λέληθεν. δῆθεν δὴ εὖ οἶδα ὅτι θαυμάζεις, τί διανοούμενός ποτε οὐκ ἀπαλλάττομαι τοῦ ἔρωτος, καὶ ἥντιν' ἔχων ἐλπίδα ὑπομένω τῶν ἄλλων πεφευγότων. ΑΛΚΙΒΙΑΔΗΣ. Καὶ ἴσως γε, ὦ Σώκρατες, οὐκ οἶσθ', ὅτι σμικρόν 3 με ἔφθης. ἐγὼ γάρ τοι ἐν νῷ εἶχον πρότερός σοι προσελθὼν αὐτὰ ταῦτ' [1] ἐρέσθαι, τί ποτε βούλει, καὶ εἰς τίνα ἐλπίδα βλέπων ἐνοχλεῖς με, ἀεὶ ὅπου ἄν ὦ ἐπιμελέσατα παρών. τῷ ὄντι γὰρ θαυμάζω ὅ,τι ποτ' ἐστὶ τὸ σὸν πρᾶγμα, καὶ ἥδις' ἂν πυθοίμην. ΣΩ. Ἀκούσει μὲν ἄρα μου ὡς τὸ b. εἰκὸς προθύμως, εἴπερ ὡς φῂς ἐπιθυμεῖς εἰδέναι τί διανοοῦμαι, καὶ ὡς ἀκουσομένῳ καὶ περιμενοῦντι λέγω [2]. ΑΛ. Πάνυ μὲν οὖν. ἀλλὰ λέγε. ΣΩ. Ὅρα δή. οὐ γάρ τοι εἴη c. ἄν θαυμαστὸν, εἰ ὥσπερ μόγις ἠρξάμην, οὕτω μόγις καὶ παυσαίμην. ΑΛ. Ὠγαθὲ λέγε. ἀκούσομαι γάρ. ΣΩ. Λεκτέον ἄν εἴη. χαλεπὸν μὲν οὖν πρὸς ἄνδρα οὐχ ἧττονα ἐραζῶν προσφέρεσθαί ἐραζῇ· ὅμως δὲ τολμητέον φράσαι τὴν ἐμὴν διάνοιαν. ἐγὼ γάρ, ὦ Ἀλκιβιάδη, εἰ μέν σε ἑώρων ἃ νῦν 4 δὴ διῆλθον ἀγαπῶντά τε καὶ οἰόμενον δεῖν ἐν τούτοις κα-
p.105 ταβιῶναι, πάλαι ἂν ἀπηλλάγμην τοῦ ἔρωτος, ὡς γε δὴ ἐμαυτὸν πείθω· νῦν δὲ ἕτερα αὖ κατηγορήσω διανοήματα σὰ πρὸς αὐτόν σε· ᾧ καὶ γνώσει, ὅτι προσέχων γέ σοι τὸν νοῦν b. διατετέλεκα. δοκεῖς γάρ μοι, εἴ τίς σοι εἴποι θεῶν [1], Ὦ Ἀλκιβιάδη, πότερον βούλει ζῆν ἔχων ἃ νῦν ἔχεις, ἢ αὐτίκα

6 Duo Procli codices *σύ γε — ἐκεῖνοι δὲ —*.

1 Ita Cl. Vat. Ven. *Π*. Vulgo *ταυτὰ ταῦτα*, Differunt autem haec eo, quod *ταυτὰ ταῦτα* valet *eadem, quae tu quoque dicis, αὐτὰ ταῦτα haec ipsa* (gerade das) *quae tu ais*. — De *ἐρέσθαι* quod hic dant iidem codd. vid. ad Men. 1. — Mox ap. Procl. *ὅπου περ ἂν ὦ*.

2 Post *εἰδέναι* insertum olim legebatur *καὶ ἀκοῦσαι*: admodum inepte, post illud *ἀκούσει* et sequente *ἀκουσομένῳ*. Indicium autem adulteratae lectionis hoc jam erat quod in longe maxima codicum parte legitur *εἰδέναι ἀκοῦσαι* sine *καί*. In textu autem Procli commentariis apposito importuna illa verba plane desunt. Recte itaque Be. omisit. Tum prius *καί* ante *ὡς*, omissum antea, ex omnibus nunc codd. et e Proclo adoptatum est.

1 Cf. Alcib. II. 6. et ibi not.

τεθνάναι, εἰ μή σοι ἔξέσαι μείζω κτήσασθαι; δοκεῖς [2] ἄν μοι ἐλέσθαι τεθνάναι. ἀλλὰ νῦν ἐπί τίνι δή ποτε ἐλπίδι ζῇς,
c. ἐγὼ φράσω. ἥγεῖ, ἐὰν θᾶττον εἰς τὸν Ἀθηναίων δῆμον παρέλθῃς· τοῦτο δὲ ἔσεσθαι μάλα ἡμερῶν ὀλίγων [3]· παρελθὼν οὖν ἐνδείξεσθαι [4] Ἀθηναίοις, ὅτι ἄξιος εἶ τιμᾶσθαι, ὡς οὔτε Περικλῆς οὔτε ἄλλος οὐδεὶς τῶν πώποτε γενομένων, καὶ τοῦτο ἐνδειξάμενος, μέγιστον δυνήσεσθαι ἐν τῇ πόλει· ἐὰν δ' ἐνθάδε μέγιστος ᾖς, καὶ ἐν τοῖς ἄλλοις Ἕλλησι· καὶ
d. οὐ μόνον ἐν Ἕλλησιν, ἀλλὰ καὶ ἐν τοῖς βαρβάροις, ὅσοι ἐν τῇ αὐτῇ ἡμῖν οἰκοῦσιν ἠπείρῳ. καὶ εἰ αὖ σοι εἶποι ὁ αὐτὸς οὗτος θεὸς, ὅτι αὐτοῦ σε δεῖ δυναζεύειν ἐν τῇ Εὐρώπῃ, διαβῆναι δὲ εἰς τὴν Ἀσίαν οὐκ ἔξέσαι σοι, οὐδὲ ἐπιθέσθαι τοῖς ἐκεῖ πράγμασιν· οὐκ ἄν αὖ μοι δοκεῖς ἐθέλειν οὐδὲ ἐπὶ τούτοις μόνοις ζῆν, εἰ μὴ ἐμπλήσεις τοῦ σοῦ ὀνόματος καὶ
e. τῆς σῆς δυνάμεως πάντας, ὡς ἔπος εἰπεῖν, ἀνθρώπους. καὶ οἶμαί σε πλὴν Κύρου καὶ Ξέρξου ἡγεῖσθαι οὐδένα ἄξιον λόγου γεγονέναι. ὅτι μὲν οὖν ἔχεις ταύτην τὴν ἐλπίδα, εὖ οἶδα,
5 καὶ οὐκ εἰκάζω. ἴσως ἄν οὖν εἴποις, ἅτε εἰδὼς ὅτι ἀληθῆ λέγω, Τί δὴ οὖν, ὦ Σώκρατες, τοῦτό ἐσί σοι πρὸς λόγον

2 Ita codd. opt. et plur. pro soloeco δοκῆς. Partic. ἄν jungenda infinitivo hic ut mox 4. d. οὐκ ἄν αὖ μοι δοκεῖς ἐθέλειν, et Meno 9. (vid. ibi not. 10.) post οἶμαι. Vid. et infra 47. a. Alc. II. 1. extr. 3. c. 10. b. 11. a. b. 23. b. quibus loeis omnibus eadem constructio in verbis δοκεῖς, δοκεῖ, οἶει, idem mendum in aliquibus libris peperit.

3 Be. cum optimis Cl. Vat. Ven. *Π μάλα ὀλίγων ἡμερῶν*, atque sic etiam Proclus in scholiorum contextu.

Scholium: *Ἰσέον, ὡς Σωκράτης Ἀλκιβιάδῃ ταῦτα διελέγετο πρὸ ἡμερῶν ὀλίγων τῆς ἀρχῆς τοῦ εἰκοσοῦ ἔτους τῆς αὐτοῦ ζωῆς, ὡς δηλοῖ τὸ ῥητόν. Ἀθήνησι γὰρ οἱ νέοι εἰς μὲν τους ἐφήβους εἰσήεσαν ὀκτὼ καὶ δέκα ἔτη γινόμενοι, δύο δὲ εἰς περιπόλους ἠριθμοῦντο, περιιόντες τὴν χώραν νυκτὸς, φυλακῆς ταύτης ἕνεκα καὶ γυμνασίας πολεμικῆς ἑαυτῶν. εἰκοσῷ δὲ ληξιαρχικῷ ἐνεγράφοντο γραμματείῳ, καθ' ὃ δὴ ἐκκλησιάζοντες παρελάμβανον καὶ τὴν πατρῴαν οὐσίαν, ἥτις καὶ λῆξις ἐκαλεῖτο, ὡς Πολυδεύκης ἐν ὀνομασικοῖς.* Vid. Poll. 8, 9, 23 et 25.

4 Vulgo *παρελθὼν δέ*. Commodius *οὖν*, quo sicut latino *igitur, ergo* (v. Ernest. Clav. Cic.) oratio post parenthesin resumitur, praeeunte Nurnbergero reposui e Cl. Vat. Ven. *Π*. Ex iisdem nunc demum adoptavi futurum *ἐνδείξεσθαι* pro vulgato *-ασθαι*, quamvis post illa *ἐὰν παρέλθῃς* aoristum etiam futuri locum tenere poterat.

Schol. *Τὸ ἐνδειξάμενος ἐπὶ τοῦ λογισμοῦ τάττει, τὸ δὲ ἐπιδειξάμενος ἐπὶ τοῦ ἀποτάδην*, h. e. de eo quod *directe, re ipsa* ostenditur.

1 Sic

ὃν ἔφησθα ἐρεῖν [1], διὸ ἐμοῦ οὐκ ἀπαλλάττει; ἐγὼ δὴ σοίγε ἐρῶ, ὦ φίλε παῖ Κλεινίου καὶ Δεινομάχης. τούτων γάρ σοι ἁπάντων τῶν διανοημάτων τέλος ἐπιτεθῆναι [2] ἄνευ ἐμοῦ ἀδύνατον· τοσαύτην ἐγὼ δύναμιν οἶμαι ἔχειν εἰς τὰ σὰ πράγματα καὶ εἰς σέ. διὸ δὴ καὶ πάλαι οἶομαί [3] με τὸν θεὸν οὐκ ἐᾶν διαλέγεσθαί σοι, ὃν ἐγὼ περιέμενον ὁπηνίκα ἐάσει. ὥσπερ γὰρ σὺ ἐλπίδας ἔχεις ἐν τῇ πόλει ἐνδείξασθαι, ὅτι αὐτῇ παντὸς ἄξιος εἶ, ἐνδειξάμενος δὲ, ὅτι οὐδὲν ὅ,τι σὺ παραυτίκα δυνήσεσθαι [4]· οὕτω κἀγὼ παρὰ σοὶ ἐλπίζω

1 Sic omnes praeter cod. Ven. *F* et ed. Bas. 2. unde Astius recepit articulum, τὸν λόγον: cujus sententiae accedo. Nam quod dicas fortasse, λόγον ὃν esse pro ὃν λόγον, id non satisfaciat sine exemplis; qualibus Heindorfius quoque, qui vulgatam hujus loci, non diserte tamen, tuetur ad Protag. 36., destitutus fuisse videtur. — Mox pro διό pars codicum δι' ὅν: sed praestat illud, quod est pro διότι. — Tum pro ἐγὼ δή Be. cum Clark. Vat. Ven. *Π.* ἐγὼ δέ, quod non placet. — Denique nomen matris Alcibiadis in Cl. Vat. Coisl. et aliis scriptum est Δεινομένης, quae tamen varietas infra ad §. 40. non affertur.

2 Apud Proclum est ἐπιθεῖναι: Ficinus: *has cogitationes tuas ad optatum finem perducere absque me minime potes.* Eundem autem vulgatae quoque sensum esse, Matthiaeo (Gr. §. 532. not. 2.) non credo: nam diversum est hoc nostrum: *harum tibi cogitationum finis* (liceat enim graeca verba pressius imitari) *imponi non potest.* Et in hac quidem sententia commodior genitivus casus mihi videtur: activa dativo aegre careret. Il. τ, 107. Ψευσ-

σεις, οὐδ' αὖτε τέλος μύθῳ ἐπιθήσεις.

3 Sic pro vulg. οἶμαι hic recte Cl. Vat. Ven. *Π.* Hic enim Socrates *opinionem* suam profert de numinis illius consilio, in paulo superiori οἶμαι autem suam de se ipso *persuasionem.* Vid. Gramm. not. ad Ind. Anoin. in h. v.

4 Verba ἐνδείξασθαι usque ad prius istud δυνήσεσθαι desunt in Cl. Vat. Ven. *Π*: cujus omissionis nullum neque ὁμοιοτέλευτον neque ὁμοιόαρκτον causa est. Immo his omissis, ut quae ex superioribus (4. c.) menti audientis sponte recurrunt, cum elegantia et perspicuitate brevior sermo evadit hic: ὥσπερ γὰρ σὺ ἐλπίδας ἔχεις ἐν τῇ πόλει, οὕτω κἀγὼ παρὰ σοὶ ἐλπίζω μέγιστον δύνασθαι ἐνδειξάμενος ὅτι παντὸς ἄξιός εἰμί σοι. Hanc itaque veram scriptoris manum, cetera non interpretamentum, sed male sedulo alicujus supplementum esse censeo, antiquum tamen illud, cum Proclus quoque habeat. Ceterum in his verbis aoristum ἐνδείξασθαι mendo carere docuimus supra ad Crit. 14.; molestum autem ὅτι ante haec οὐδὲν ὅ,τι οὐ praeeuntibus Proclo et Bekkero omittere poteramus, sed nunc

τεθνάναι, εἰ μή σοι ἐξέσαι μείζω κτήσασθαι; δοκεῖς [2] ἄν μοι ἐλέσθαι τεθνάναι. ἀλλὰ νῦν ἐπὶ τίνι δή ποτε ἐλπίδι ζῇς, c. ἐγὼ φράσω. ἡγεῖ, ἐὰν θᾶττον εἰς τὸν Ἀθηναίων δῆμον παρέλθῃς· τοῦτο δὲ ἔσεσθαι μάλα ἡμερῶν ὀλίγων [3]· παρελθὼν οὖν ἐνδείξεσθαι [4] Ἀθηναίοις, ὅτι ἄξιος εἶ τιμᾶσθαι, ὡς οὔτε Περικλῆς οὔτε ἄλλος οὐδεὶς τῶν πώποτε γενομένων, καὶ τοῦτο ἐνδεξάμενος, μέγιστον δυνήσεσθαι ἐν τῇ πόλει· ἐὰν δ' ἐνθάδε μέγιστος ᾖς, καὶ ἐν τοῖς ἄλλοις Ἕλλησι· καὶ d. οὐ μόνον ἐν Ἕλλησιν, ἀλλὰ καὶ ἐν τοῖς βαρβάροις, ὅσοι ἐν τῇ αὐτῇ ἡμῖν οἰκοῦσιν ἠπείρῳ. καὶ εἰ αὖ σοι εἴποι ὁ αὐτὸς οὗτος θεὸς, ὅτι αὐτοῦ σε δεῖ δυναστεύειν ἐν τῇ Εὐρώπῃ, διαβῆναι δὲ εἰς τὴν Ἀσίαν οὐκ ἐξέσαι σοι, οὐδὲ ἐπιθέσθαι τοῖς ἐκεῖ πράγμασιν· οὐκ ἄν αὖ μοι δοκεῖς ἐθέλειν οὐδὲ ἐπὶ τούτοις μόνοις ζῆν, εἰ μὴ ἐμπλήσειας τοῦ σοῦ ὀνόματος καὶ e. τῆς σῆς δυνάμεως πάντας, ὡς ἔπος εἰπεῖν, ἀνθρώπους. καὶ οἶμαί σε πλὴν Κύρου καὶ Ξέρξου ἡγεῖσθαι οὐδένα ἄξιον λόγου γεγονέναι. ὅτι μὲν οὖν ἔχεις ταύτην τὴν ἐλπίδα, εὖ οἶδα, 5 καὶ οὐκ εἰκάζω. ἴσως ἂν οὖν εἴποις, ἅτε εἰδὼς ὅτι ἀληθῆ λέγω, Τί δὴ οὖν, ὦ Σώκρατες, τοῦτό ἐστί σοι πρὸς λόγον

2 Ita codd. opt. et plur. pro soloeco δοκῆς. Partic. ἄν jungenda infinitivo hic ut mox 4. d. οὐκ ἄν αὖ μοι δοκεῖς ἐθέλειν, et Meno 9. (vid. ibi not. 10.) post οἶμαι. Vid. et infra 47. a. Alc. II. 1. extr. 3. c. 10. b. 11. a. b. 23. b. quibus loeis omnibus eadem constructio in verbis δοκεῖς, δοκεῖ, οἶει, idem mendum in aliquibus libris peperit.

3 Be. cum optimis Cl. Vat. Ven. Π μάλα ὀλίγων ἡμερῶν, atque sic etiam Proclus in scholiorum contextu.

Scholium: Ἰσέον, ὡς Σωκράτης Ἀλκιβιάδῃ ταῦτα διελέγετο πρὸ ἡμερῶν ὀλίγων τῆς ἀρχῆς τοῦ εἰκοστοῦ ἔτους τῆς αὐτοῦ ζωῆς, ὡς δηλοῖ τὸ ῥητόν. Ἀθήνησι γὰρ οἱ νέοι εἰς μὲν τοὺς ἐφήβους εἰσῄεσαν ὀκτὼ καὶ δέκα ἔτη γινόμενοι, δύο δὲ εἰς περιπόλους ἠριθμοῦντο, περιιόντες τὴν χώραν νυκτὸς, φυλακῆς ταύτης ἕνεκα καὶ γυμνασίας πολεμικῆς ἑαυτῶν. εἰκοστῷ δὲ ληξιαρχικῷ ἐνεγράφοντο γραμματείῳ, καθ' ὃ δὴ ἐκκλησιάζοντες παρελάμβανον καὶ τὴν πατρῴαν οὐσίαν, ἥτις καὶ λῆξις ἐκαλεῖτο, ὡς Πολυδεύκης ἐν ὀνομαστικοῖς. Vid. Poll. 8, 9, 23 et 25.

4 Vulgo παρελθὼν δέ. Commodius οὖν, quo sicut latino *igitur, ergo* (v. Ernest. Clav. Cic.) oratio post parenthesin resumitur, praeeunte Nurnbergero reposui e Cl. Vat. Ven. Π. Ex iisdem nunc demum adoptavi futurum ἐνδείξεσθαι pro vulgato -ασθαι, quamvis post illa ἐὰν παρέλθῃς aoristum etiam futuri locum tenere poterat.

Schol. Τὸ ἐνδειξάμενος ἐπὶ τοῦ λογισμοῦ τάττει, τὸ δὲ ἐπιδειξάμενος ἐπὶ τοῦ ἀποτάδην, h. e. de eo quod *directe, re ipsa* ostenditur.

1 Sic

ὃν ἔφησθα ἐρεῖν [1], διὸ ἐμοῦ οὐκ ἀπαλλάττει; ἐγὼ δὴ σοίγε ἐρῶ, ὦ φίλε παῖ Κλεινίου καὶ Δεινομάχης. τούτων γάρ σοι ἁπάντων τῶν διανοημάτων τέλος ἐπιτεθῆναι [2] ἄνευ ἐμοῦ ἀδύνατον· τοσαύτην ἐγὼ δύναμιν οἶμαι ἔχειν εἰς τὰ σὰ πράγματα καὶ εἰς σέ. διὸ δὴ καὶ πάλαι οἶομαί [3] με τὸν b. θεὸν οὐκ ἐᾶν διαλέγεσθαί σοι, ὃν ἐγὼ περιέμενον ὑπηνίκα ἐάσει. ὥσπερ γὰρ σὺ ἐλπίδας ἔχεις ἐν τῇ πόλει ἐνδείξασθαι, ὅτι αὐτῇ παντὸς ἄξιος εἶ, ἐνδειξάμενος δὲ, ὅτι οὐδὲν ὅ,τι σὺ παραυτίκα δυνήσεσθαι [4]· οὕτω κἀγὼ παρὰ σοὶ ἐλπίζω

1 Sic omnes praeter cod. Ven. Γ et ed. Bas. 2. unde Astius recepit articulum, τὸν λόγον: cujus sententiae accedo. Nam quod dicas fortasse, λόγον ὃν esse pro ὃν λόγον, id non satisfaciat sine exemplis; qualibus Heindorfius quoque, qui vulgatam hujus loci, non diserte tamen, tuetur ad Protag. 36., destitutus fuisse videtur. — Mox pro διό pars codicum δι' ὅν: sed praestat illud, quod est pro διότι. — Tum pro ἐγὼ δὴ Bc. cum Clark. Vat. Ven. Π. ἐγὼ δέ, quod non placet. — Denique nomen matris Alcibiadis in Ch. Vat. Coisl. et aliis scriptum est Δεινομένης, quae tamen varietas infra ad §. 40. non affertur.

2 Apud Proclum est ἐπιθεῖναι: Ficinus: *has cogitationes tuas ad optatum finem perducere absque me minime potes.* Eundem autem vulgatae quoque sensum esse, Matthiaeo (Gr. §. 532. not. 2.) non credo: nam diversum est hoc nostrum: *harum tibi cogitationum finis* (liceat enim graeca verba pressius imitari) *imponi non potest.* Et in hac quidem sententia commodior genitivus casus mihi videtur: activa dativo aegre careret. Il. τ, 107. Ψευσῇ-σεις, οὐδ' αὖτε τέλος μύθῳ ἐπιθήσεις.

3 Sic pro vulg. οἶμαι hic recte Cl. Vat. Ven. Π. Hic enim Socrates *opinionem* suam profert de numinis illius consilio, in paulo superiori οἶμαι autem suam de se ipso *persuasionem.* Vid. Gramm. not. ad Ind. Anoin. in h. v.

4 Verba ἐνδείξασθαι usque ad prius istud δυνήσεσθαι desunt in Cl. Vat. Ven. Π: cujus omissionis nullum neque ὁμοιοτέλευτον neque ὁμοιόαρκτον causa est. Immo his omissis, ut quae ex superioribus (4. c.) menti audientis sponte recurrunt, cum elegantia et perspicuitate brevior sermo evadit hic: ὥσπερ γὰρ σὺ ἐλπίδας ἔχεις ἐν τῇ πόλει, οὕτω κἀγὼ παρὰ σοὶ ἐλπίζω μέγιστον δυνήσεσθαι ἐνδειξάμενος ὅτι παντὸς ἄξιός εἰμί σοί. Hanc itaque veram scriptoris manum, cetera non interpretamentum, sed male seduli alicujus supplementum esse censeo, antiquum tamen illud, cum Proclus quoque habeat. Ceterum in his verbis aoristum ἐνδείξασθαι mendo carere docuimus supra ad Crit. 14.; molestum autem ὅτι ante haec οὐδὲν ὅ,τι οὐ. praeeuntibus Proclo et Bekkero omittere poteramus, sed nunc

μέγιζον δυνήσεσθαι, ἐνδειξάμενος ὅτι παντὸς ἄξιός εἰμί σοι [5], καὶ οὔτ' ἐπίτροπος, οὔτε συγγενὴς, οὔτε ἄλλος οὐδεὶς ἱκανὸς παραδοῦναι τὴν δύναμιν ἧς ἐπιθυμεῖς, πλὴν ἐμοῦ· μετὰ
c. τοῦ θεοῦ μέντοι. νεωτέρῳ μὲν οὖν ὄντι σοι, καὶ πρὶν τοσαύτης ἐλπίδος γέμειν, ὡς ἐμοὶ δοκεῖ, οὐκ εἴα ὁ θεὸς διαλέγεσθαι, ἵνα μὴ μάτην διαλεγοίμην· νῦν δὲ ἐφῆκε [6]· νῦν γὰρ ἄν μου ἀκούσαις. ΑΛ. Πολύ γέ μοι, ὦ Σώκρατες, νῦν ἀτοπώτερος αὖ φαίνει, ἐπειδὴ ἤρξω λέγειν, ἢ ὅτε σιγῶν ἔζου. καίτοι σφόδρα γε ἤσθα ἰδεῖν καὶ τότε τοιοῦτος. εἰ μὲν οὖν ἐγὼ ταῦτα διανοοῦμαι, ἢ μή, ὡς ἔοικε, διέγνωκας· καὶ ἐὰν μὴ φῶ, οὐδέν μοι ἔσται πλέον πρὸς τὸ πείθειν σε. εἶεν [1]. εἰ δὲ δὴ ὅτι μάλιστα ταῦτα διανενόημαι, πῶς διὰ σοῦ μοι ἔσται, καὶ ἄνευ σου οὐκ ἂν γένοιτο, ἔχεις λέγειν; p. 106
b. ΣΩ. Ἆρα ἐρωτᾷς, εἴ τινα ἔχω εἰπεῖν λόγον μακρὸν, οἵους δὴ ἀκούειν εἴθισαι; οὐ γάρ ἐστι τοιοῦτον τὸ ἐμόν. ἀλλ' ἐνδείξασθαι μέν σοι, ὡς ἐγῷμαι, οἷόστ' ἂν εἴην ὅτι ταῦτα οὕ-

nunc quoque retinuimus ob alia hujus anacoluthiae exempla quae collegit Heind. ad Phaedo. 19.

5 Ita Bekker cum optimis Cl. Vat. Ven. *Π*, cum olim legeretur *παντὸς μᾶλλον ἄξιός εἰμι*, sine *σοι*, et cum voce importuna *μᾶλλον*, quam per incogitantiam librarii, formulam *παντὸς μᾶλλον* (v. Ind.) in animo habentis irrepsisse puto. Est autem mendosa ista scriptura etiam in textu Procli commentariis inserto, in quo proxime subsequentia ita leguntur: *καὶ οὔτε ἐπίτροπος οὔτε σύνεγγυς, τίς ἄλλος οὐδεὶς κ. τ. λ.*

6 Heusdius verbum *ἐφιέναι* ratus *impellentis* tantum esse legendum pronuntiabat *ἀφῆκε*; idque in Procli libris intex varias lectiones est: sed vid. ibi Creuzer p. 161. qui apte etiam admonet praecepti Grammatici in Append. Sturziana ad Etymol. Gud. p. 635. l. 55. *τὸ γάρ ἐφίημι διπλῆν ἐν ἑαυτῷ περιορίζει σημασίαν. ἐφίημι γὰρ τὸ προτρέπω καὶ ἐνδίδωμι, ὡς τὸ ἐφίημί σοι λέγειν.* Vid. Sturz. Lex. Xenoph. in v. Firmari autem potest vulgata lectio etiam ex Prisciano l. c. ubi mendosum ἔφη non modo in Graecis legitur, sed haec quoque sine varietate additur interpretatio „nunc, *inquit*, nunc enim me audias". Conf. Crit. 13. c. quanquam ibi in uno cod. Par. H. est *ἀφιέντων*: contra ibid. 9. a. ubi *ἀφιέντων* magis proprie dictum, unus tamen codex habet *ἐφιέντων*, neque hoc ibi male.

*] Excerpsit hunc sermonem Stobaeus p. 178. — De v. πολλάκις v. Ind.

1 Sic Clark. Vulgo ἑαυτοῦ.

2 Vulgo δή τι, quod est in solo Ven. ξ. Tum Be. e Vat. et Ven. Π χερός, quod e Clark. tamen non est enotatum. — In seqq. a librariis videtur aliquid turbatum fuisse. Sic enim Ficinus: „Dicisne esse aliquid ipsius manus, quemadmodum annulus est? *Dico equidem.* Num alterius membri, quam *digiti*, *annulum* esse censes?" In extremis his convenit illi cum Paris. F, qui pro δακτύλου habet δακτύλιον et a rec. manu δακτύλου δακτύλιον. Scribendum utique censeo: Καλεῖς δέ τι χειρός· οἷον δακτύλιον· ἔστιν ὅτου — φαίης ἢ δακτύλου δακτύλιον; Nimirum in vulgata manus et digitus ut diversa memorari videntur: quod esse non debet, ut apparet e consecutione sententiarum.

3 Verba Καὶ ἱμάτια — — Ναί. inserta e Stobaeo. Rejecerunt ea Ast. et Be. quasi fieri posset, ut sive Stob. sive quisquam alius haec animi causa inferserit. Manifestum potius, excidisse ea ob duplex *Nai.* Sunt autem talia certissimo argumento, codices omnes istos quorum varietatem hic ponimus derivatos esse ex uno perantiquo quidem, sed in quo illa lacuna jam esset. — Porro in sequentibus (c.) Ἆρ᾽ οὖν, ὅταν τίς τι βέλτιον, Stob. omittit τι.

4 Sophistae saepe riserunt Socratem exempla a sutoribus et aliis opificibus petentem; veluti in Gorg. p. 491. a. ἀεὶ σκυτέας τε καὶ κναφέας — λέγων οὐδὲν παύει. Vid. et Xenoph. Mem. 1, 2, 37. et ibi Ruhnk. et Schneid.

1 Sic

ὑποδημάτων ἐπιμελούμεθα. ΑΛ. Ναί. ΣΩ. Ἦ καὶ ποδὸς d.
σκυτικῇ, ᾗ ἐκείνῃ ᾗ πόδας βελτίους ποιοῦμεν; ΑΛ. Ἐκείνῃ. ΣΩ. Βελτίους δὲ πόδας οὐχ ἧπερ καὶ τὸ ἄλλο σῶμα; ΑΛ. Ἔμοιγε δοκεῖ. ΣΩ. Αὕτη δ' οὐ γυμναστική; ΑΛ. Μάλιστα. ΣΩ. Γυμναστικῇ μὲν ἄρα ποδὸς ἐπιμελούμεθα, e.
σκυτικῇ δὲ τῶν τοῦ ποδός. ΑΛ. Πάνυ γε. ΣΩ. Καὶ γυμναστικῇ μὲν χειρῶν, δακτυλιογλυφίᾳ δὲ τῶν τῆς χειρός. ΑΛ. Ναί. ΣΩ. Καὶ γυμναστικῇ μὲν σώματος, ὑφαντικῇ δὲ καὶ ταῖς ἄλλαις τῶν τοῦ σώματος. ΑΛ. Παντάπασι μὲν οὖν. ΣΩ. Ἄλλῃ μὲν ἄρα τέχνῃ αὐτοῦ ἑκάστου ἐπιμελούμεθα, ἄλλῃ 50
δὲ τῶν αὐτοῦ [1]. ΑΛ. Φαίνεται. ΣΩ. Οὐκ ἄρα, ὅταν τῶν σαυτοῦ ἐπιμελῇ, σαυτοῦ ἐπιμελεῖ. ΑΛ. Οὐδαμῶς. ΣΩ. Οὐ γὰρ ἡ αὐτὴ τέχνη, ὡς ἔοικεν, ᾗ τις [2] ἂν αὐτοῦ τε ἐπιμελοῖτο καὶ τῶν αὐτοῦ. ΑΛ. Οὐ φαίνεται. ΣΩ. Φέρε δῆ, b.
ποίᾳ ποτ' ἂν ἡμῶν αὐτῶν ἐπιμεληθείημεν; ΑΛ. Οὐκ ἔχω λέγειν. ΣΩ. Ἀλλὰ τοσόνδε γε ὡμολόγηται, ὅτι οὐχ ᾗ ἂν τῶν ἡμετέρων καὶ ὅτιοῦν βέλτιον ποιοῖμεν [3], ἀλλὰ ᾗ ἡμᾶς αὐτούς. ΑΛ. Ἀληθῆ λέγεις. ΣΩ. Ἦ οὖν ἔγνωμεν ἄν ποτε, τίς τέχνη ὑπόδημα βέλτιον ποιεῖ, μὴ εἰδότες ὑπόδημα; ΑΛ. Ἀδύνατον. ΣΩ. Οὐδέ γε, τίς τέχνη δακτυλίους βελτίους ποιεῖ, ἀγνοοῦντες δακτύλιον. ΑΛ. Ἀληθῆ. ΣΩ. Τί c.
δέ; τίς τέχνη βελτίω ποιεῖ αὐτὸν, ἆρ' ἔν ποτε γνοῖμεν, ἀ-
p.129 γνοοῦντες τί ποτ' ἐσμὲν αὐτοί; ΑΛ. Ἀδύνατον. ΣΩ. Πότερον οὖν δὴ ῥᾴδιον τυγχάνει [4] τὸ γνῶναι ἑαυτὸν, καί τις ἦν φαῦλος ὁ τοῦτο ἀναθεὶς εἰς τὸν ἐν Πυθοῖ νεών; ἢ χαλεπόν τι καὶ οὐχὶ παντός; ΑΛ. Ἐμοὶ μέν, ὦ Σώκρατες, πολλάκις μὲν ἔδοξε παντὸς εἶναι, πολλάκις δὲ παγχάλε-

1 Sic pars codicum recte: male alii αὑτοῦ vel ἑαυτοῦ. Schleiermacher: *Durch eine andre Kunst also besorgen wir jedes selbst, und durch eine andere das was ihm angehört.* — Mox Stob. ὅταν τῶν ἑαυτοῦ.

2 Ita Fabri correxit vulg. ἅτις.

3 Ita scripsi Struvio monente, ut supra ἐπιμελοῖτο. Junge ἐπιμελοῖτ' ἄν, ποιοῖμεν ἄν. Vulgo ποιῶμεν.

4 Vulgo οὖν ἂν ῥ. τυγχάνοι. Nostra est in libris optimis et in lemmate scholii Ruhnkeniani, nisi quod ibi est τυγχάνειν, per aphaeresin, opinor. Alias sequeretur genitivus τοῦ γνῶναι. Sed probum est ῥᾴδιον τυγχάνει, non inserto ὄν; quod demonstravit Heind. ad Gorg. 124. Infra 57. e. τυγχάνει ὅμοιον.

d. πον. ΣΩ. Ἀλλ', ὦ Ἀλκιβιάδη, εἴτε ῥᾴδιον εἴτε μή ἐστιν, ὅμως γε ἡμῖν ὧδε ἔχει· γνόντες μὲν αὐτὸ τάχ' ἂν γνοῖμεν,* τὴν ἐπιμέλειαν ἡμῶν αὐτῶν, ἀγνοοῦντες δὲ οὐκ ἄν ποτε.
51 ΑΛ. Ἔστι ταῦτα. ΣΩ. Φέρε δή, τίν' ἂν τρόπον εὑρεθείη αὐτὸ τὸ αὐτό [1]; οὕτω μὲν γὰρ ἂν τάχ' εὕροιμεν τί ποτ' ἐσμὲν αὐτοί. τούτου δὲ ἔτι ὄντες ἐν ἀγνοίᾳ, ἀδύνατοί που [2]. ΑΛ. Ὀρθῶς λέγεις. ΣΩ. Ἔχε οὖν πρὸς Διός. τῷ διαλέγει σὺ νῦν; ἄλλῳ τῳ ἢ ἐμοί [3]; ΑΛ. Ναί. ΣΩ. Οὐκοῦν καὶ ἐγὼ σοί; ΑΛ. Ναί. ΣΩ. Σωκράτης ἄρα ἐστὶν ὁ διαλεγόμενος. ΑΛ. Πάνυ γε. ΣΩ. Ἀλκιβιάδης δὲ ὁ ἀκούων. ΑΛ. Ναί. ΣΩ. Οὐκοῦν λόγῳ διαλέγεται ὁ Σωκράτης; ΑΛ.
b. Τί μήν; ΣΩ. Τὸ δὲ διαλέγεσθαι καὶ τὸ λόγῳ χρῆσθαι ταυτόν που καλεῖς; ΑΛ. Πάνυ γε. ΣΩ. Ὁ δὲ χρώμενος καὶ ᾧ χρῆται οὐκ ἄλλο; ΑΛ. Πῶς λέγεις; ΣΩ. Ὥσπερ σκυτοτόμος τέμνει που τομεῖ [4] καὶ σμίλῃ καὶ ἄλλοις ὀργάνοις. ΑΛ. Ναί. ΣΩ. Οὐκοῦν ἄλλο μὲν ὁ τέμνων καὶ χρώμενος, ἄλλο δὲ οἷς ὁ τέμνων χρῆται [5]; ΑΛ. Πῶς

* Cl. Vat. Ven. γνοίημεν.

1 Locum hunc male accepisse videtur Ficinus, qui sic vertit: *quomodo illud ipsum inveniemus?* [Ita et Stob. αὐτὸ τοῦτο, corruptum nimirum ex eo quod est in Cl. Vat. Ven. αὐτὸ ταυτό.] E Parmenide autem discimus, idem discrimen esse inter αὐτὸ τὸ αὐτὸ et αὐτὸ ἕκαστον (§. 53.), atque inter Ideam Platonicam et id quod secundum Ideam istam formatum est. Per αὐτὸ τὸ αὐτὸ igitur intelligere possumus *universalem rerum essentiam* ac per αὐτὸ ἕκαστον *essentiam rerum particularem*. FAB. Schleiermachero αὐτὸ τὸ αὐτὸ (sive τὸ αὐτοαυτὸ ut ὁ αὐτοάνθρωπος) est *die Idee der Selbstheit im Gegensaz irgend eines einzelen Selbst.*

2 Ita nunc scribitur ex optimis pro vulgato ὄντες ἐν α., ἀδύνατόν που.

3 Sic scripsi e Stobaeo. Vulgo ἄλλῳ τινὶ ἢ —, quod a rec. manu est in Paris. E. Ceteri codd. teste Be. ἄλλο τι ἤ (nam sic est in Clark.: Be. de vocula ἤ, quam ipse omisit, nil memorat): sed Nurnberger e Veneto (Π) diserte enotavit ἄλλῳ τι ἤ. Ad nostrum ἄλλῳ τῳ autem aeque bene respondetur per ναὶ atque ad similia per οἶμαι: vid. Ind.

4 Pollux 10, 141. Τὰ σκυτοτόμου σκεύη, τομεὺς ἐν Πλάτωνος Ἀλκιβιάδῃ εἰρημένος —. Schol. ad nostrum l. Τομεύς ἐστιν ἐρχαλεῖον τὴν βάσιν ἔχον κυκλικήν, σμίλη δὲ ἡμικυκλικήν (sive secundum Olympiodorum ἰσόπεδον vel εὐθεῖαν).

5 Articulum ante χρώμενος cum Stobaeo omisi: eundem inter οἷς et τέμνων servavi, solum Ven. 2 secutus: nam ceteri omnes hunc quidem omittunt. In talibus nemo quidquam nisi suum sensum sequi potest. — Mox Stob. πῶς οὔ.

6 Vul-

γὰρ οὔ; ΣΩ. Ἆρ' οὖν οὕτω καὶ ὁ κιθαριστὴς κιθαρίζει, καὶ αὐτὸς ὁ κιθαριστὴς ἄλλο ἂν εἴη; ΑΛ. Ναί. ΣΩ. Τοῦτο τοίνυν ἀρτίως ἠρώτων, εἰ ὁ χρώμενός ἐστι καὶ ᾧ χρῆται ἀεὶ δοκεῖ ἕτερον εἶναι. ΑΛ. Δοκεῖ. ΣΩ. Τί οὖν φαμὲν τὸν σκυτοτόμον; τέμνειν ὀργάνοις μόνον, ἢ καὶ τῇσιν; ΑΛ. Καὶ τῇσι. ΣΩ. Χρῆται ἄρα καὶ ταύταις. ΑΛ. Ναί. ΣΩ. Ἦ καὶ τοῖς ὀφθαλμοῖς χρώμενος σκυτοτομεῖ; ΑΛ. Ναί. ΣΩ. Τὸν δὲ χρώμενον καὶ οἷς χρῆται ἕτερα ὁμολογοῦμεν. ΑΛ. Ναί. ΣΩ. Ἕτερον ἄρα σκυτοτόμος καὶ κιθαριστὴς χαλῶν καὶ ὀφθαλμῶν οἷς ἐργάζονται. ΑΛ. Φαίνεται. ΣΩ. Οὐκοῦν καὶ παντὶ τῷ σώματι χρῆται ἄνθρωπος; ΑΛ. Πάνυ γε. ΣΩ. Ἕτερον δ' ἦν τό,τε χρώμενον καὶ ᾧ χρῆται. ΑΛ. Ναί. ΣΩ. Ἕτερον ἄρα ἄνθρωπός ἐστι τοῦ σώματος τοῦ ἑαυτοῦ [7]. ΑΛ. Ἔοικε. ΣΩ. Τί 52
ποτ' οὖν ἐστιν ἄνθρωπος; ΑΛ. Οὐκ ἔγωγ' ἔχειν. ΣΩ.
p.130 Ἔχεις μὲν οὖν, ὅτι γε τὸ τῷ σώματι χρώμενον; ΑΛ. Ναί. ΣΩ. Ἦ οὖν ἄλλο τι χρῆται αὐτῷ ἢ ψυχή; ΑΛ. Οὐκ ἄλλο. ΣΩ. Οὐκοῦν ἄρχουσα; ΑΛ. Ναί. ΣΩ. Καὶ μὴν τόδε γε οἶμαι οὐδένα ἂν ἄλλως οἰηθῆναι. ΑΛ. Τὸ ποῖον; ΣΩ. Μὴ οὐ τριῶν ἕν γέ τι εἶναι τὸν ἄνθρωπον. ΑΛ. Τίνων; ΣΩ. Ψυχήν, ἢ σῶμα, ἢ ξυναμφότερον, τὸ ὅλον τοῦτο [8]. ΑΛ. Τί μήν; ΣΩ. Ἀλλὰ μὴν αὐτό γε b.
τὸ τοῦ σώματος ἄρχον ὁμολογήσαμεν ἄνθρωπον εἶναι; [2]
ΑΛ. Ὡμολογήσαμεν. ΣΩ. Τίς οὖν ὁ ἄνθρωπος; [2] ἆρ'

56 Vulgo Ἕτερον δή: dederunt tres optimi et Stob. Vid. de hoc Imperf. Meno. 85. not. 5.

7 Sic pro vulg. ὁ ἄνθρωπός ἐστι τοῦ ἑαυτοῦ σώματος Bo. e tribus opt. His autem melius congruunt quae mox dedi e Stobaeo, Πί ποτ' οὖν ἐστιν ἄνθρωπος pro vulg. Τὸ ποτ' οὖν ὁ ἄνθρωπος. Quamquam ἄνθρωπος et ὁ ἄνθρωπος de homine in universum aeque usitatum esse observat Heind. ad Gorg. 140. Illud tamen ubi libri praebent praefero. Cf. Men. 7. not. 4.

8 Ficinus, qui habet aut totum ipsum ex utrisque compositum, legisse videtur ἢ καὶ ἐξ ἀμφοτέρων τὸ ὅλον τοῦτο, nec male, ut praeparetur ita vox ξυναμφότερον, qua mox utitur Socr. SCHLEIERM. Nimirum vulgo hic legitur ἢ καὶ ξυναμφότερον. Nos autem cum Bekkero lam καί, quae deest in opt. et plur. quisimus: non ita tamen derogantes eo coniecturae Schleiermacheri.

2 Haec verba Τίς οὖν ὁ ἄνθρωπος, quae commode aut commodius fortasse absint, non leguntur in tribus optimis, nisi in Ven. II recentiori manu ad marginem appicta.

οὖν σῶμα αὐτὸ αὑτοῦ ἄρχει; ΑΛ. Οὐδαμῶς. ΣΩ. Ἄρχεσθαι γὰρ αὐτὸ εἴπομεν. ΑΛ. Ναί. ΣΩ. Οὐκ ἂν δὴ τοῦτό γε εἴη ὃ ζητοῦμεν. ΑΛ. Οὐκ ἔοικεν. ΣΩ. Ἀλλ' ἄρα [3] τὸ ξυναμφότερον τοῦ σώματος ἄρχει, καὶ ἔστι δὴ
e. τοῦτο ἄνθρωπος; ΑΛ. Ἴσως δῆτα. ΣΩ. Πάντων γε ἥκιστα. μὴ γὰρ συνάρχοντος [4] τοῦ ἑτέρου, οὐδεμία που μηχανὴ τὸ ξυναμφότερον ἄρχειν. ΑΛ. Ὀρθῶς. ΣΩ. Ἐπειδὴ δὲ οὔτε σῶμα [5] οὔτε τὸ ξυναμφότερόν ἐστιν ἄνθρωπος, λείπεται, οἶμαι, ἢ μηδὲν αὐτὸ εἶναι, ἢ, εἴπερ τι ἔστι, μηδὲν ἄλλο τὸν ἄνθρωπον συμβαίνειν ἢ ψυχήν [6]. ΑΛ. Κομιδῇ μὲν
53 οὖν. ΣΩ. Ἔστι οὖν τι σαφέστερον δεῖ ἀποδειχθῆναί σοι, ὅτι ἡ ψυχή ἐστιν ἄνθρωπος; ΑΛ. Μὰ Δία· ἀλλὰ ἱκανῶς μοι δοκεῖ ἄγειν. ΣΩ. Εἰ δέ γε μὴ ἀκριβῶς, ἀλλὰ καὶ μετρίως ἔξαρκεῖ ἡμῖν· ἀκριβῶς μὲν γὰρ τότε εἰσόμεθα, ὅταν εὕρωμεν ὃ νῦν δὴ παρήλθομεν, διὰ τὸ πολλῆς εἶναι σκέ-
b. ψεως. ΑΛ. Τί τοῦτο; ΣΩ. Ὅ ἄρτι οὕτω πως ἐρρήθη, ὅτι πρῶτον σκεπτέον εἴη αὐτὸ τὸ αὐτό· νῦν δὲ ἀντὶ τοῦ αὐτοῦ αὐτὸ ἕκαστον ἐσκέμμεθα ὅ,τι ἐστί [1]. καὶ ἴσως ἐξαρκέσει. οὐ γάρ που κυριώτερόν γε οὐδὲν ἂν ἡμῶν αὐτῶν φήσαιμεν ἢ τὴν ψυχήν. ΑΛ. Οὐ δῆτα. ΣΩ. Οὐκοῦν καλῶς ἔχει οὕτω νομίζειν, ἐμὲ καὶ σὲ προσομιλεῖν ἀλλήλοις, τοῖς λόγοις χρωμένους, τῇ ψυχῇ πρὸς τὴν ψυχήν. ΑΛ.
c. Μάλιστα μὲν οὖν. ΣΩ. Τοῦτ' ἄρα ἦν, ὃ καὶ ὀλίγῳ ἔμπροσθεν εἴπομεν, ὅτι Σωκράτης Ἀλκιβιάδῃ διαλέγεται, λόγῳ χρώμενος· οὐ πρὸς τὸ σὸν πρόσωπον, ὡς ἔοικε, ἀλλὰ πρὸς τὸν Ἀλκιβιάδην ποιούμενος τοὺς λόγους. τοῦτο δ' ἐστὶν ἡ ψυχή. ΑΛ. Ἔμοιγε [2] δοκεῖ.
54 ΣΩ. Ψυχὴν ἄρα ἡμᾶς κελεύει γνωρίσαι ὁ ἐπιτάττων

3 Bo. ἀλλ' ἄρα: quod non probamus. Vid. Heind. ad Sophist. 60. Ἄρα sermonem continuat; interrogatio est in tenore solo.

4 Ita, pro vulg. οὖν ἄρχοντος, recte Stob. et codd. tres optimi.

5 Sic Cl. Vat. Ven. Vulgo τὸ σῶμα. Vid. ad Meno. 7. not. 4.

6 V. Ind. συμβαίνειν.

1 Pro τοῦ αὐτοῦ Schleiermacher emendat αὐτοῦ τοῦ αὐτοῦ, quo fortasse non opus. Sed pro αὐτὸ ἕκαστον, quod ex re ipsa est certissimum, quodque latine reddit Fic., non modo Stobaeus, sed codd. Bekkero collati omnes, ἑαυτὸν ἕκαστον. Steph. primus correxit.

2 Stob. ἔμοιγ' οὖν. Idem mox γνωρίζειν pro γνωρίσαι.

p.131 γνῶναι ἑαυτόν. ΑΛ. Ἔοικεν. ΣΩ. Ὅστις ἄρα τῶν τοῦ σώματός τι γιγνώσκει [1], τὰ αὑτοῦ, ἀλλ' οὐχ αὑτὸν, ἔγνωκεν. ΑΛ. Οὕτως. ΣΩ. Οὐδεὶς ἄρα τῶν ἰατρῶν ἑαυτὸν γιγνώσκει καθ' ὅσον ἰατρός· οὐδὲ τῶν παιδοτριβῶν καθ' ὅσον παιδοτρίβης. ΑΛ. Οὐκ ἔοικε. ΣΩ. Πολλοῦ ἄρα δέ- b. ουσιν οἱ γεωργοὶ καὶ οἱ ἄλλοι δημιουργοὶ γιγνώσκειν ἑαυτούς· οὐδὲ γὰρ τὰ ἑαυτῶν οὗτοί γε, ὡς ἔοικεν [2], ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτῶν, κατά γε τὰς τέχνας ἃς ἔχουσι. τὰ γὰρ τοῦ σώματος γιγνώσκουσιν, οἷς τοῦτο θεραπεύεται. ΑΛ. Ἀληθῆ λέγεις. ΣΩ. Εἰ ἄρα σωφροσύνη ἐστὶ τὸ ἑαυ- c. τὸν γιγνώσκειν, οὐδεὶς τούτων σώφρων κατὰ τὴν τέχνην. ΑΛ. Οὔ μοι δοκεῖ. ΣΩ. Διὰ ταῦτα δὴ καὶ βάναυσοι αὗται αἱ τέχναι δοκοῦσιν εἶναι, καὶ οὐκ ἀνδρὸς ἀγαθοῦ μαθήματα. ΑΛ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν πάλιν ὅστις αὖ σῶμα d. θεραπεύει, τὰ ἑαυτοῦ ἀλλ' οὐχ ἑαυτὸν θεραπεύει. ΑΛ. Κινδυνεύει. ΣΩ. Ὅστις δέ γε τὰ χρήματα, οὔθ' ἑαυτὸν, οὔτε τὰ ἑαυτοῦ, ἀλλ' ἔτι πορρωτέρω τῶν ἑαυτοῦ. ΑΛ. Ἔμοιγε δοκεῖ. ΣΩ. Οὐ τὰ αὑτοῦ ἄρα ἔτι πράττει ὁ χρη- ματιστής. ΑΛ. Ὀρθῶς. ΣΩ. Εἰ ἄρα τις γέγονεν ἐραστὴς 55. τοῦ Ἀλκιβιάδου σώματος, οὐκ Ἀλκιβιάδου ἠράσθη [3], ἀλλά τινος τῶν Ἀλκιβιάδου. ΑΛ. Ἀληθῆ λέγεις. ΣΩ. Ὅστις δὲ σοῦ, τῆς ψυχῆς ἐρᾷ; ΑΛ. Ἀνάγκη φαίνεται ἐκ τοῦ λόγου. ΣΩ. Οὐκοῦν ὁ μὲν τοῦ σώματός σου ἐρῶν, b. ἐπειδὴ λήγει ἀνθοῦν, ἀπιὼν οἴχεται; ΑΛ. Φαίνεται. ΣΩ. Ὁ δέ γε τῆς ψυχῆς ἐρῶν, οὐκ ἄπεισιν, ἕως ἂν ἐπὶ τὸ βέλτιον ἴῃ [4]. ΑΛ. Εἰκός γε. ΣΩ. Οὐκοῦν ἐγώ εἰμι ὁ οὐκ

1 Τὶ insertum e Stob. praeeunte Schleiermachero, qui simul jubet inducere articulum τῶν, quod eo servato unum pereat de gradatione in superioribus significata.

2 Stob. ὡς ἔοικε, γιγνώσκουσιν. — Τῶν ἑαυτῶν, ut infra τῶν ἑαυτοῦ. Adverbium πορρωτέρω negligentius adjectum, pro τὰ πορρωτέρω — γιγνώσκουσιν, sicut infra πορρωτέρω pro τὰ πορρωτέρω θεραπεύει. Nolim enim hic, ἃς omittens quod, per sphalma opinor, deest in Cl. Vat. Ven., jungere πορρωτέρω ἔχουσιν.

3 Ita Be. cum Clark. Vat. Ven. Vulgo ἄρα repetitum ante ἠράσθη.

4 Hanc librorum lectionem solus Steph. correxerat ita, ἴῃς: cui assentiebar olim. Nunc ἴῃ ad animum relatum concinnius esse agnosco, propter superius λήγει ἀνθοῦν ad corpus. — Mox Stob. περιμένων, male. — H[illegible]io praeeunte ascribemus duo loces simillimes

ἀπιὼν, ἀλλὰ παραμένων, λήγοντος τοῦ ὠφματος, πῶν ἄλ-
c. λων ἀπειληλυθότων. ΑΛ. Εὖ γε ποιῶν, ὦ Σώκρατες· καὶ
μηδὲ ἀπέλθοις [5]. ΣΩ. Προθυμοῦ τοίνυν ὅτι κάλλιστος εἶ-
ναι. ΑΛ. Ἀλλὰ προθυμήσομαι. ΣΩ. Ὡς οὕτω γέ σοι
ἔχει· οὔτ' ἐγένεθ', ὡς ἔοικεν, Ἀλκιβιάδῃ τῷ Κλεινίου ἐρα-
στὴς, οὔτ' ἔστι, ἀλλ' ἢ εἷς μόνος, καὶ οὗτος ἀγαπητὸς [6],
Σωκράτης ὁ Σωφρονίσκου καὶ Φαιναρέτης. ΑΛ. Ἀληθῆ.
d. ΣΩ. Οὐκοῦν ἔφησθα, σμικρὸν φθηναί με προσελθόντα σοι,
ἐπεὶ πρότερος ἂν μοι προσελθεῖν [7] βουλόμενος πυθέσθαι,
διότι μόνος οὐκ ἀπέρχομαι; ΑΛ. Ἦν γὰρ οὕτω. ΣΩ.
Τοῦτο τοίνυν αἴτιον, ὅτι μόνος ἐραστὴς ἦν σὸς, οἱ δ' ἄλ-
λοι, τῶν σῶν· τὰ δὲ σὰ λήγει ὥρας, αὐ δ' ἄρχει ἀνθεῖν. p.132
56 καὶ νῦν γε, ἂν μὴ διαφθαρῇς ὑπὸ τοῦ Ἀθηναίων δήμου,
καὶ αἰσχίων γένῃ, οὐ μή σε ἀπολίπω [1]. τοῦτο γὰρ δὴ μά-
λιστα ἐγὼ φοβοῦμαι, μὴ δημέρασὴς ἡμῖν γενόμενος διαφθα-
ρῇς. πολλοὶ γὰρ ἤδη καγαθοὶ αὐτὸ πεπόνθασιν Ἀθηναί-
ων. εὐπρόσωπος γὰρ ὁ τοῦ μεγαλήτορος δῆμος Ἐρεχθέως [2].

mos. Plat. Sympos. p. 183. e. ἅμα γὰρ τῷ τοῦ σώματος ἄνθει λήγαντι, οὗπερ ἦρα, οἴχεται ἀποπτάμενος πολλοὺς λόγους καὶ ὑποσχέσεις καταισχύνας· ὁ δὲ τοῦ ἤθους χρήζου ὄντος ἐραστὴς διὰ βίου μένει, ἅτε μονίμῳ συντακείς. Xenoph. Symp. 8. 14. ἦν δὲ καὶ ἀμφότερα ξέρξωσι, τὸ μὲν τῆς ὥρας ἄνθος ταχὺ δήπου παραμάζει· ἀπολείποντος δὲ τούτου ἀνάγκη καὶ τὴν φιλίαν συναπομαραίνεσθαι· ἡ δὲ ψυχὴ ὅσοπερ ἂν ἴῃ ἐπὶ τὸ φρονιμώτερον, καὶ ἀξιερασοτέρα γίγνεται.

5 Sic codd. plur. nisi quod Cl. Vat. Ven. dant μή, per correctionem, opinor, ejus cui καὶ μηδὲ displiceret. Sed καὶ est mera copula, in μηδέ autem latet *etiam*. Optativus autem hic est vere optantis, non jubentis. *Und möchtest du auch nicht wieder weggehn!* Vulg. ἀπέλθῃς est in Par. E F.

6 Lepide utitur Socrates dictione Homerica de filio unico, Il. β, 365. de Telemacho, μοῦνος ἐὼν ἀγαπητός. Conf. Demosth. Mid. 45. et ibi Spald.

7 Nota sermonem obliquum continuatum per alteram propositionem, quae pendet a conjunctione ἐπεί. Sermo rectus ex Alcibiadis persona est, ἔψθης προσελθών μοι, ἐπεὶ πρότερος ἂν προσῆλθόν σοι. V. Gramm. §. 128. obs. et inf. Alc. II. 20. a.

1 Vid. Gramm. §. 126, 4. cum not.

2 Iliad. β, 547. Δῆμος Ἐρεχθῆος μεγαλήτορος, ὃν ποτ' Ἀθήνη Θρέψεν· ubi v. Clark. Mentionem hujus loci cum vituperio facit Athen. 11, p. 506. τὸν Ἀθηναίων δῆμον εἰκαῖον εἴρηκε (Plato) κριτὴν εὐπρόσωπον· et paulo post: καὶ τὸν Ἀθηναίων δῆμον εὐπρόσωπον μὲν εἶναι, δεῖν δ' αὐτὸν ἀποδύσαντας θεωρεῖν.

3 Stob.

ἀλλ' ἀποδύντα χρὴ αὐτὸν θεάσασθαι, εὐλαβοῦ οὖν τὴν εὐλάβειαν, ἣν ἐγὼ λέγω. ΑΛ. Τίνα; ΣΩ. Γύμνασαι πρῶ- b.
τον, ὦ μακάριε, καὶ μάθε ἃ δεῖ μαθόντα ἰέναι ἐπὶ τὰ τῆς πόλεως, πρότερον δὲ μή· ἵνα ἀλεξιφάρμακα ἔχων ἴῃς, καὶ μηδὲν πάθῃς δεινόν. ΑΛ. Εὖ μοι δοκεῖς λέγειν, ὦ Σώκρατες· ἀλλὰ πειρᾶ ἐξηγεῖσθαι, ὅντινα τρόπον ἐπιμεληθεῖμεν [1] ἡμῶν αὐτῶν. ΣΩ. Οὐκοῦν τοσοῦτον μὲν ἡμῖν εἰς τὸ πρό- c.
σθεν πεπέραντται [4]; ὃ γάρ ἐσμεν, ἐπιεικῶς ὡμολόγηται. ἐφοβούμεθα δὲ μή, τούτου σφαλέντες, λάθωμεν ἑτέρου τινὸς ἐπιμελόμενοι [5], ἀλλ' οὐχ ἡμῶν. ΑΛ. Ἔχει ταῦτα. ΣΩ. Καὶ μετὰ τοῦτο δὲ, ὅτι ψυχῆς ἐπιμελητέον [6], καὶ εἰς τοῦτο βλεπτέον. ΑΛ. Δῆλον. ΣΩ. Σωμάτων δὲ καὶ χρημάτων τὴν ἐπιμέλειαν ἑτέροις παραδοτέον. ΑΛ. Τί μήν; ΣΩ. Τίν' οὖν ἂν τρόπον γνοίημεν αὐτὰ [1] ἐναργέστατα; ἐπειδὴ 57
τοῦτο γνόντες, ὡς ἔοικε, καὶ ἡμᾶς αὐτοὺς γνωσόμεθα. ἆρα, πρὸς θεῶν, εὖ λέγοντος, οὗ νῦν δὴ ἐμνήσθημεν, τοῦ Δελφικοῦ γράμματος οὐ ξυνίεμεν [2]; ΑΛ. Τὸ ποῖόν τι διανοού-

3 Conf. §. 9. not. 4.

4 Stob. πεπέραται, male. — Mox particula γάρ inserta more graeco ei ipsi sermoni, qui introducitur illo τοσοῦτον. V. Gramm. §. 136 ubi de voce γάρ.

5 Hanc formam pro vulg. ἐπιμελούμενοι hic dant optimi et plurimi.

6 Be, cum Clark. Vat. Ven. καὶ μετὰ τοῦτο ἤδη τῆς ψυχῆς s. Quod satisfacere tamen non potest. Nam quid est καὶ μετὰ τοῦτο, nisi sequente ὅτι refertur ad ὡμολόγηται? Neque locus est copulae καί, nisi quod inde pendet jam comprehensum est in illo πεπέραντται. Sane ὅτι τῆς ψυχῆς ἐπιμελητέον, καὶ εἰς τοῦτο βλεπτέον in superioribus diserte non est dictum. Commode tamen haec et proxima aliquatenus referuntur ad totum §. 54. argumentum. Sed καὶ — δὲ non est hujus loci, pro quo malim καὶ — δή.

1 Hoc αὐτὰ non habet ad quod commode referatur. Quare recte, opinor, Schleierm. legi jubet αὐτό, ut cum superiori εἰς τοῦτο referatur ad animum. Eoque ducit illud etiam quod in tribus opt. mox omisso καὶ legitur ἔοικεν, ἡμᾶς —: bene opinor: τοῦτο (τὴν ψυχὴν) γνόντες, ἡμᾶς αὐτοὺς γν.

2. Sic tribus opt. addicentibus nunc legitur loco vulgati olim ξύνιμεν, quod per sensum non satis aptum in solite etiam structum est. Nusquam enim invenitur σύνοιδα ἐκείνου ποιοῦντος, sed σύνοιδα ἐκείνῳ ποιοῦντι vel σύνοιδα ὅτι ἐκεῖνος ποιεῖ. — Subjecta autem Alcibiadis interrogatio male vulgo distinguitur ita: Τὸ ποῖον; τί διαν. Scribendum Τὸ ποῖόν τι διανοούμενος. Sophist. p. 240. c. Πῇ καὶ τὸ ποῖόν τι φοβούμενος οὕτω λέγεις; et ib. p. 217. a. Τί δὲ μάλιστα καὶ τὸ ποῖόν τι περὶ αὐ-

b. μενος λέγεις, ὦ Σώκρατες; ΣΩ. Ἐγώ σοι φράσω, ὅγε ὑποπτεύω λέγειν καὶ ξυμβουλεύειν ἡμῖν τοῦτο τὸ γράμμα. κινδυνεύει γὰρ οὐδὲ πολλαχοῦ εἶναι παράδειγμα αὐτοῦ, ἀλλὰ κατὰ τὴν ὄψιν μόνον. ΑΛ. Πῶς τοῦτο λέγεις; ΣΩ. Σκόπει καὶ σύ. εἰ ἡμῶν τῷ ὄμματι, ὥσπερ ἀνθρώπῳ, ξυμβουλεύων εἶπεν, Ἰδὲ σαυτὸν [3], πῶς ἂν ὑπελάβομέν τι παραινεῖν; ἆρ' οὐχὶ εἰς τοῦτο βλέπειν, εἰς ὃ βλέπων ὀφθαλμὸς c. ἔμελλεν αὑτὸν ἰδεῖν; ΑΛ. Δῆλον. ΣΩ. Ἐννοῶμεν δὴ, εἰς τί βλέποντες τῶν ὄντων, ἐκεῖνό τε ὁρῶμεν ἅμα ἂν καὶ ἡμᾶς αὐτούς. ΑΛ. Δῆλον δὴ, ὦ Σώκρατες, ὅτι εἰς κάτοπτρά τε καὶ τὰ τοιαῦτα. ΤΩ. Ὀρθῶς λέγεις. οὐκοῦν καὶ τῷ ὀφθαλμῷ ᾧ ὁρῶμεν ἔν ἐςι τῶν τοιούτων [4]. ΑΛ. Πάνυ d. γε. ΣΩ. Ἐννενόηκας οὖν, ὅτι τοῦ ἐμβλέποντος εἰς τὸν ὀφθαλμὸν τὸ πρόσωπον ἐμφαίνεται ἐν τῇ τοῦ καταντικρὺ ὄψει, ὥσπερ ἐν κατόπτρῳ· ὃ δὴ καὶ κόρην καλοῦμεν, εἴδω- p.133 λον ὄν [5] τι τοῦ ἐμβλέποντος. ΑΛ. Ἀληθῆ λέγεις. ΣΩ.

αὐτῶν διαπορηθεὶς ἐρέσθαι διενοήθης;

3 Stob. male ἰδὲ ἑαυτόν. Mox Clark. et Vat. ὃ ὀφθαλμός: quo non opus: vid. Men. 7. Not. 4.

4 Legendum censemus ἔνεςι τι τῶν τοιούτων, aut certe ἕν ἐςί τι τῶν τοιούτων. Vulgatum suspectum nobis fecit bene loquentium consuetudo. *WOLFIUS.* Apparet virum doctum diffisum fuisse isti ἕν pro τί. Sed certa quaedam hujus generis obversantur animo Socratis, ut ipsum speculum, aquae superficies, pupilla. Earum autem unam speciem recte dici posse ἓν τῶν κατοπτροειδῶν nemo dubitabit. Sed illud dubito, an si dixisset Socrates καὶ τῷ ὀφθαλμῷ ἓν vel ἕν τί ἐςι τῶν τοιούτων, Alcibiades Dativum hunc, qui Commodi esse videtur, neque tamen esse debet, statim ita intellexisset, ut respondere potuisset Πάνυ γε. Quod si tamen credimus, acquiescendum videtur in vulgata: nam illud ἔνεςι, quod praebent cod. Clark. et alii nonnulli, ex illo ἕν ἐςι sponte nasci debuit. Sin minus, cum Be. adoptanda prior Wolfii correctio, ἔνεςί τι, aut etiam legendum: καὶ ἐν sive κἂν τῷ ὀφθαλμῷ — ἕν ἐςι τ. τ. *Schleiermachero* verba haec ᾧ ὁρῶμεν sejuncta a superioribus pupillam significare videntur: quod absque inserta voce ἐκεῖνο fieri posse non puto. Et sic demum dativus iste commodi καὶ τῷ ὀφθαλμῷ vere otiosus esset, quod in altera ratione de his ᾧ ὁρῶμεν illi videbatur. Verum adjecta haec puto ad oppositionem speculi vulgaris. Plenius: „ille ipse oculus, quo videmus, inspici etiam pro speculo potest." Vid. Ind. in κόρη.

5 Vocula inserta a Be. e Vat. (Clark. ὄντι, Ven. Π ὅτι). — Paulo inferius pro τοῦτο Stob. τουτί. Pro, οὐκ ὄψεται ἑαυτὸν, Stob. οὐχὶ ο. ε.

6 Ar-

Ὀφθαλμὸς ἄρα ὀφθαλμὸν θεώμενος, καὶ ἐμβλέπων εἰς τοῦτο ὅπερ βέλτιστον αὐτοῦ, καὶ ᾧ ὁρᾷ, οὕτως ἂν αὐτὸν ἴδοι. ΑΛ. Φαίνεται. ΣΩ. Εἰ δέ γε εἰς ἄλλο τῶν τοῦ ἀνθρώπου βλέποι, ἢ τι τῶν ὄντων, πλὴν εἰς ἐκεῖνο ᾧ τοῦτο τυγχάνει ὅμοιον, οὐκ ὄψεται ἑαυτόν. ΑΛ. Ἀληθῆ λέγεις. ΣΩ. Ὀφθαλμὸς ἄρα εἰ μέλλει ἰδεῖν ἑαυτὸν, εἰς ὀφθαλμὸν αὐτῷ βλεπτέον, καὶ τοῦ ὄμματος εἰς ἐκεῖνον τὸν τόπον ἐν ᾧ τυγχάνει ὀφθαλμοῦ ἀρετὴ ἐγγιγνομένη. ἔστι δὲ τοῦτό που ὄψις [6]. ΑΛ. Οὕτως. ΣΩ. Ἆρ' οὖν, ὦ φίλε Ἀλκιβιάδη, καὶ ψυχὴ εἰ μέλλει γνώσεσθαι αὑτήν, εἰς ψυχὴν αὐτῇ βλεπτέον, καὶ μάλιστα εἰς τοῦτον αὐτῆς τὸν τόπον, ἐν ᾧ ἐγγίγνεται ἡ ψυχῆς ἀρετὴ, σοφία [1], καὶ εἰς ἄλλο ᾧ τοῦτο τυγχάνει ὅμοιον ὄν; ΑΛ. Ἔμοιγέ δοκεῖ, ὦ Σώκρατες. ΣΩ. Ἔχομεν οὖν εἰπεῖν ὅτι ἐστὶ τῆς ψυχῆς νοερώτερον, ἢ τοῦτο [b].

6 Articulum ἡ ante ὀφθαλμοῦ ἀρετὴ et ante ὄψις addunt Cl. Vat. Ven., quibus tamen hic quoque, ut in eadem re aliquoties, morem gerendum esse non arbitrabar.

1 Non recte olim Heusdio Astioque assenseram, vocem σοφία ut glossema rejicientibus, quoniam in sequentibus demum doceat Socrates, animi virtutem in sapientia sitam esse: quod verum non est; sed illud mox dicet, animi virtutem esse in eo, circa quod sit τὸ εἰδέναι καὶ τὸ φρονεῖν. Jam sicut in proxime superioribus de oculi virtute sermo erat, quam ὄψιν nominabat; ita nunc, de animi virtute loquens, σοφίαν eam appellat. Itaque respondent sibi ὄψις et σοφία. Jam sicut τῆς ὄψεως sedes est in pupilla, ita nunc sedem quaerit etiam τῆς σοφίας. Quo pacto simul apparet certissime veram esse lectionem νοερώτερον, quam e tribus optimis et e Stobaeo in sequentibus adoptavimus pro vulgato antea θειότερον. Nam sic tandem ab omni parte absolvitur comparatio oculi. Sicut enim virtus oculi, ὄψις, sita est in eo ᾧ ὁρᾷ; ita virtus animi, σοφία, sita est in eo ᾧ νοεῖ sive in eo quod est τῆς ψυχῆς τὸ νοερώτατον. Hoc autem dicet esse illud περὶ ὃ τὸ εἰδέναι τε καὶ φρονεῖν ἐστιν, pro quo mox una voce φρόνησις utitur. Ἡ σοφία itaque est ἐν τῇ φρονήσει, sicut ἡ ὄψις ἐν τῇ κόρῃ: *sapientia* in *mente*, sicut *visus* in *pupilla*. Restat alia varietas. Quippe pro istis τῷ θείῳ Nurnberger e codice Ven. (Π) affert τῷ θεῷ, (sic ille, sine accentibus ut solet) h. e. τῷ θεῷ: Bekker autem ex eodem et Vatic. diserte enotavit τῷ θεῷ. Verum probe notandum, in Clarkiano, a quo duo illi alias non recedunt nisi in exiguis scripturae diversitatibus vel mendis manifestis, hanc varietatem non esse: cujus rei fidem facit summa alias in minutissimis diligentia ejus qui hunc codicem contulit. De sententia horum verborum cf. Excursum ad not. sq.

2 Apud

περὶ ὃ τὸ εἰδέναι τε καὶ φρονεῖν ἔχει; ΑΛ. Οὐκ ἔχομεν. ΣΩ. Τῷ θείῳ ἄρα τοῦτο ἔοικεν αὐτῆς· καὶ τις εἰς τοῦτο βλέπων, καὶ πᾶν τὸ θεῖον γνοὺς, θεόν τε καὶ φρόνησιν, οὕτω καὶ ἑαυτὸν ἂν γνοίη μάλιστα. ΑΛ. Φαίνεται [2]. ΣΩ. c. Τὸ δὲ γιγνώσκειν αὐτὸν, ὁμολογοῦμεν σωφροσύνην εἶναι. ΑΛ. Πάνυ γε. ΣΩ. Ἆρ' οὖν μὴ γιγνώσκοντες ἡμᾶς αὐτοὺς, μηδὲ σώφρονες ὄντες, δυναίμεθ' ἂν εἰδέναι τὰ ἡμέτερα αὐτῶν κακά τε καὶ ἀγαθά; ΑΛ. Καὶ πῶς ἂν τοῦτο, d. γένοιτο, ὦ Σώκρατες; ΣΩ. Ἀδύνατον γὰρ ἴσως σοι φαίνεται [3], μὴ γιγνώσκοντα Ἀλκιβιάδην τὰ Ἀλκιβιάδου γεγνώσκειν ὅτι Ἀλκιβιάδου ἐστίν. ΑΛ. Ἀδύνατον μέντοι νὴ Δία. ΣΩ. Οὐδ' ἄρα τὰ ἡμέτερα, ὅτι ἡμέτερα, εἰ μηδ' ἡμᾶς αὐτοὺς [4]; ΑΛ. Πῶς γάρ; ΣΩ. Εἰ δ' ἄρα μηδὲ τὰ ἡμέτερα, οὐδὲ τὰ τῶν ἡμετέρων. ΑΛ. Οὐ φαίνεται. e. ΣΩ. Οὐκ ἄρα πάνυ τι ὀρθῶς ὡμολογοῦμεν, ὁμολογοῦντες ἄρτι εἶναί τινας, οἳ ἑαυτοὺς μὲν οὐ γιγνώσκουσι, τὰ δὲ ἑαυτῶν, ἄλλους δὲ τὰ τῶν ἑαυτῶν [5]. ἔοικε γὰρ πάντα ταῦτα εἶναι κατιδεῖν ἑνός τε καὶ μιᾶς τέχνης, αὐτὸν, τὰ αὑτοῦ, τὰ 59 τῶν ἑαυτοῦ. ΑΛ. Κινδυνεύει. ΣΩ. Ὅστις δὲ τὰ αὑτοῦ

2 Apud Stob. p. 181. et Euseb. P. E. p. 551. haec praeterea, ut ex hoc loco sumpta leguntur: ΣΩ. Ἆρ' οὖν ὥσπερ κάτοπτρα σαφέστερά ἐστι, τοῦ ἐν τῷ ὀφθαλμῷ ἐνόπτρου, καὶ καθαρώτερά τε καὶ λαμπρότερα, οὕτω καὶ ὁ θεὸς τοῦ ἐν τῇ ἡμετέρᾳ ψυχῇ βελτίσου, καθαρώτερόν τε καὶ λαμπρότερον τυγχάνει ὄν; ΑΛ. Ἔοικέ γε, ὦ Σώκρατες. ΣΩ. Εἰς τὸν θεὸν ἄρα βλέποντες, ἐκείνῳ καλλίστῳ ἐνόπτρῳ χρώμεθ' ἄν, καὶ τῶν ἀνθρωπίνων εἰς τὴν ψυχῆς ἀρετὴν. καὶ οὕτως ἂν μάλιστα ὄψοιμεν καὶ γιγνώσκοιμεν ἡμᾶς αὐτούς. ΑΛ. Ναί. Ea hic post *Φαίνεται* revera esse inserenda in Exc. II. ad hunc dialogum probare conabimur.

3. Σοί insertum e Cl. Vat. Ven. et Stob. Sed γάρ, quod Stob. servat, auctoritate eorundem codd. abjicere non sustinuimus.

4 Certissimam hanc Fabri emendationem confirmat Ficini versio atque optimi hodie codices. Vulgo εἰ μὴ δ' ἡμᾶς αὐτούς. In seqq. autem aeque necessarium μηδὲ post εἰ δ' ἄρα, in vulgatis plane omissum, e Stobaeo insertum est.

5 Ita optime Stobaeus. Respicitur enim §. 54. ubi pronuntiatum erat, medicos, qui corpus cürant, non ἑαυτούς, sed τὰ ἑαυτῶν, agricolas autem et ceteros opifices ne τὰ ἑαυτῶν quidem, sed τὰ τοῦ σώματος, itaque τὰ τῶν ἑαυτῶν, cognoscere. Vulgo h. l., maxima interpunctione post τὰ δὲ ἑαυτῶν posita, ita scribitur: ἀλλ οὐδὲ τὰ τῶν ἑαυτῶν, quod etsi non prorsus ineptum est, longe tamen concinnior et aptior est Stobaei scriptura.

1 Stob.

ἀγνοεῖ, καὶ τὰ τῶν ἄλλων που ἂν ἀγνοοῖ [1] κατὰ ταυτά. ΑΛ. Τί μήν; ΣΩ. Οὐκοῦν εἰ τὰ τῶν ἄλλων, καὶ τὰ τῶν πόλεων ἀγνοήσει. ΑΛ. Ἀνάγκη. ΣΩ. Οὐκ ἄρα ἂν γένοιτο b. ὁ τοιοῦτος ἀνὴρ πολιτικός. ΑΛ. Οὐ δῆτα. ΣΩ. Οὐ μὴν
p. 134 οὐδ' [2] οἰκονομικός γε. ΑΛ. Οὐ δῆτα. ΣΩ. Οὐδέ γε εἴσεται ὅ,τι πράττει. ΑΛ. Οὐ γὰρ οὖν. ΣΩ. Ὁ δὲ μὴ εἰδὼς οὐχ ἁμαρτήσεται; ΑΛ. Πάνυ γε. ΣΩ. Ἐξαμαρτάνων δὲ οὐ κακῶς πράξει ἰδίᾳ τε καὶ δημοσίᾳ; ΑΛ. Πῶς δ' οὔ; ΣΩ. Κακῶς δὲ πράττων οὐκ ἄθλιος; ΑΛ. Σφόδρα γε. ΣΩ. Τί δ', οἷς αὐτὸς πράττει; ΑΛ. Καὶ οὗτοι. ΣΩ. Οὐκ ἄρα οἱόντε, ἐὰν μή τις σώφρων καὶ ἀγαθὸς ᾖ, εὐδαί- c. μονα εἶναι. ΑΛ. Οὐχ οἱόντε. ΣΩ. Οἱ ἄρα κακοὶ τῶν ἀνθρώπων ἄθλιοι. ΑΛ. Σφόδρα γε. ΣΩ. Οὐκ ἄρα οὐδ' ὁ πλουτήσας ἀθλιότητος [3] ἀπαλλάττεται, ἀλλ' ὁ σωφρονήσας. ΑΛ. Φαίνεται. ΣΩ. Οὐκ ἄρα τειχῶν, οὐδὲ τριη- d. ρῶν, οὐδὲ νεωρίων δέονται αἱ πόλεις, ὦ Ἀλκιβιάδη, εἰ μέλλουσιν εὐδαιμονήσειν, οὐδὲ πλήθους, οὐδὲ μεγέθους ἄνευ ἀρετῆς. ΑΛ. Οὐ μέντοι. ΣΩ. Εἰ δὴ μέλλεις τὰ τῆς πόλεως πράξειν ὀρθῶς καὶ καλῶς, ἀρετῆς σοι μεταδοτέον τοῖς πολίταις. ΑΛ. Πῶς γὰρ οὔ; ΣΩ. Δύναιτο δ' ἄν τις μεταδιδόναι ὃ μὴ ἔχει [3]; ΑΛ. Καὶ πῶς; ΣΩ. Αὐτῷ ἄρα e. σοι πρῶτον κτητέον ἀρετὴν, καὶ ἄλλῳ, ὃς μέλλει μὴ ἰδίᾳ μόνον αὑτοῦ τε καὶ τῶν αὑτοῦ ἄρξειν καὶ ἐπιμελήσεσθαι, ἀλλὰ πόλεως καὶ τῶν τῆς πόλεως. ΑΛ. Ἀληθῆ λέγεις. ΣΩ. Οὐκ ἄρα ἐξουσίαν σοι οὐδ' ἀρχὴν παρασκευαστέον σαν- 60 τῷ ποιεῖν ὅ,τι ἂν βούλῃ, οὐδὲ τῇ πόλει, ἀλλὰ δικαιοσύνην καὶ σωφροσύνην. ΑΛ. Φαίνεται. ΣΩ. Δικαίως μὲν γὰρ πράττοντες καὶ σωφρόνως σύ τε καὶ ἡ πόλις θεοφιλῶς

1 Stob. *που ἀγνοεῖ*. Cl. Vat. Ven. *που ἀγνοοῖ*. Vulgatam recte servat Be.

2 Cl. Vat. Ven. *ματαιότητος*: sed Ven. vulgatam habet in margine.

3 Struvius corrigit *οὗ μὴ ἔχει*, neque ego repudiem, ob proximum illud *ἀρετῆς μεταδοτέον*. Nihil tamen contra libros novandum est, cum accusativus non prorsus alienus sit ab hoc verbo, etiam ubi nonnisi partem suae rei aliquis impertit. Sic enim Xenoph. Anab. 4, 5, 5. — *εἰ μὴ μεταδοῖέν αὐτοῖς πυρούς ἢ ἄλλο τι ὧν ἔχοιεν βρωτῶν*. Qui locus variati quoque, sicut hoc nostro, casus exemplum praebet; sic enim statim continuatur ibi narratio: *ἔνθα δὴ μεταδίδοσαν ἀλλήλοις ὧν εἶχον ἕκαστοι*.

1 Voc.

b. πράξετε. ΑΛ. Εἰκός γε. ΣΩ. Καὶ, ὅπερ γε ἐν τοῖς πρόσθεν ἐλέγομεν, εἰς τὸ θεῖον καὶ λαμπρὸν ὁρῶντες πράξετε. ΑΛ. Φαίνεται. ΣΩ. Ἀλλὰ μὴν ἐνταῦθά γε βλέποντες ὑμᾶς τε αὐτοὺς καὶ τὰ ὑμέτερα ἀγαθὰ κατόψεσθέ τε καὶ γνώσεσθε. ΑΛ. Ναί. ΣΩ. Οὐκοῦν ὀρθῶς τε καὶ εὖ πράc. ξετε; ΑΛ. Ναί. ΣΩ. Ἀλλὰ μὴν οὕτω γε πράττοντας ὑμᾶς ἐθέλω ἐγγυήσασθαι ἢ μὴν εὐδαιμονήσειν. ΑΛ. Ἀσφαλῆς γὰρ εἶ ἐγγυητής. ΣΩ. Ἀδίκως δέ γε [1] πράττοντε, εἰς τὸ ἄθεον καὶ σκοτεινὸν βλέποντες, ὡς τὰ εἰκότα, ὅμοια τούτοις πράξετε, ἀγνοοῦντες ὑμᾶς αὐτούς. ΑΛ. Ἔοικεν.
d. ΣΩ. Ὧι γὰρ [2], ὦ φίλε Ἀλκιβιάδη, ἐξουσία μὲν ᾖ ποιεῖν ὃ βούλεται, νοῦν δὲ μὴ ἔχῃ [3], τί τὸ εἰκὸς συμβαίνειν ἰδιώτῃ ἢ καὶ πόλει; οἷον νοσοῦντι ἐξουσίας οὔσης δρᾶν ὃ βούλεται, νοῦν ἰατρικὸν μὴ ἔχοντι, τυραννοῦντι δὲ, ὡς μηδὲ p.135 ἐπιπλήττοι [4] τις αὐτῷ, τί τὰ συμβησόμενον; ἆρ' οὐχ, ὡς τὸ εἰκός, διαφθαρῆναι τὸ σῶμα; ΑΛ. Ἀληθῆ λέγεις.
e. ΣΩ. Τί δ'; ἐν νηῒ εἴ τῳ ἐξουσία εἴη ποιεῖν ὃ δοκεῖ, νοῦ τε καὶ ἀρετῆς κυβερνητικῆς ἐξερημένῳ, καθορᾷς ἃ ἂν ξυμβαίνοι [5] αὐτῷ τε καὶ τοῖς ξυνναύταις; ΑΛ. Ἔγωγε, ὅτι γε ἀπόλοιντο πάντες ἄν. ΣΩ. Οὐκοῦν ὡσαύτως ἐν πόλει τε, καὶ πάσαις ἀρχαῖς καὶ ἐξουσίαις ἀπολειπομένας ἀρετῆς,
61 ἕπεται τὸ κακῶς πράττειν. ΑΛ. Ἀνάγκη. ΣΩ. Οὐκ ἄρα τυραννίδα χρὴ, ὦ ἄριστε Ἀλκιβιάδη, παρασκευάζεσθαι οὐθ' αὑτῷ οὔτε τῇ πόλει, εἰ μέλλετε εὐδαιμονεῖν, ἀλλ' ἀρετήν. ΑΛ. Ἀληθῆ λέγεις. ΣΩ. Πρὶν δέ γε ἀρετὴν ἔχειν, τὸ ἄρ-

1 Vocem γέ omittunt Clark. Vat. Ven.

2 *Astius* sine libris Ὧι γὰρ ἄν —. In quo sequitur ille quidem normam mille locorum consensu firmatam. Tamen cum in aliis verborum structuris hanc particulam sibi exposcentibus subinde omittant eam scriptores, et in hac ipsa tragici (vid. Pors. ad Eur. Or. 141. Heind. ad Protag. 87.), meum certe non duxi ut sine libris quidquam hic agerem. E prosariis omissi ἄν exemplis, quae excitavit Matth. Gr. 527. Obs. 2., Platonica aliter hodie eduntur e libris.

3 Vid. Gramm. §. 138. II, 4.

4 Optativi hujus ratio quaerenda videtur in sermone hypothetico: nam ἐξουσίας οὔσης hic valet idem quod εἰ ἐξουσία εἴη αὐτῷ. Est tamen aliquid insoliti in hac dictione, cui medelam non invenio in hac trium optimorum scriptura ἐπιπλήττοιτ ἑαυτῷ. Nisi non nimium forte inde recedere censes hoc, ὡς μηδὲ ἐπιπλήττειν τινὰ αὐτῷ.

5 Cum Be. ἃ scripsimus pro vulg. ὃ ex plurimis, optativum autem pro vulg. ξυμβαίνῃ e solo Cornl.

1 Plu-

χεσθαι ἄμεινον ὑπὸ τοῦ βελτίονος, ἢ τὸ ἄρχειν, ἀνδρὶ, οὐ μόνον παιδί. ΑΛ. Φαίνεται. ΣΩ. Οὐκοῦν τό γε ἄμεινον b. καὶ κάλλιον; ΑΛ. Ναί. ΣΩ. Τὸ δὲ κάλλιον πρεπωδέστερον; ΑΛ. Πῶς δ' οὔ; ΣΩ. Πρέπει ἄρα τῷ κακῷ δουλεύειν ἄμεινον γάρ. ΑΛ. Ναί. ΣΩ. Δουλοπρεπὲς ἄρα ἡ κακία. ΑΛ. Φαίνεται. ΣΩ. Ἐλευθεροπρεπὲς δὲ ἡ ἀρετή. ΑΛ. Ναί. ΣΩ. Οὐκοῦν φεύγειν χρὴ, ὦ ἑταῖρε, τὴν δου- c. λοπρέπειαν; ΑΛ. Μάλιστά γε, ὦ Σώκρατες. ΣΩ. Αἰσθάνει δὲ νῦν πῶς ἔχεις; ἐλευθεροπρεπῶς, ἢ οὔ; ΑΛ. Δοκῶ μοι καὶ μάλα σφόδρα αἰσθάνεσθαι [1]. ΣΩ. Οἶσθα οὖν d. πῶς ἀποφεύξει τοῦτο τὸ περὶ σὲ τῦν; ἵνα μὴ ὀνομάζωμεν αὐτὸ ἐπὶ καλῷ ἀνδρί. ΑΛ. Ἔγωγε. ΣΩ. Πῶς; ΑΛ. Ἐὰν βούλῃ σὺ, ὦ Σώκρατες. ΣΩ. Οὐ καλῶς λέγεις, ὦ Ἀλκιβιάδη. ΑΛ. Ἀλλὰ πῶς χρὴ λέγειν; ΣΩ. Ὅτι ἐὰν θεὸς ἐθέλῃ. ΑΛ. Λέγω δή. καὶ πρὸς τούτοις μέντοι τόδε e. λέγω, ὅτι κινδυνεύσομεν μεταβαλεῖν τὸ σχῆμα, ὦ Σώκρατες, τὸ μὲν σὸν ἐγὼ, σὺ δὲ τοὐμόν. οὐ γὰρ ἔξιν ἅπως οὐ παιδαγωγήσω σε ἀπὸ τῆσδε τῆς ἡμέρας, οὐδ' ὑπ' ἐμοῦ παιδαγωγήσει [2]. ΣΩ. Ὦ γενναῖε, πελαργοῦ ἄρα ὁ ἐμὸς ἔρως οὐδὲν διοίσει, εἰ παρά σοι ἐννεοττεύσας ἔρωτα ὑπόπτερον ὑπὸ τούτου πάλιν θεραπεύσεται. ΑΛ. Ἀλλ' οὕτως ἔχει f. καὶ ἄρξομαί γε ἐντεῦθεν τῆς δικαιοσύνης ἐπιμέλεσθαι. ΣΩ. Βουλοίμην ἄν σε καὶ διατελέσαι· ὁρῶ δὲ, οὔτι τῇ σῇ φύσει ἀπιστῶν, ἀλλὰ τὴν τῆς πόλεως ὁρῶν ῥώμην, μὴ ἐμοῦ τε καὶ σοῦ κρατήσῃ.

1 Plutarchus narrat Alcibiadem, victum sermone Socratis, illacrimasse, seque ipsi totum dedidisse. Quare, quamvis ferox fuerit Alcibiades, neque hic locus, neque alter ille §. 48. κινδυνεύω καὶ πάλαι λελῆθέναι ἐμαυτὸν αἴσχιστα ἔχων similitudine veri destituitur. *BIE.*

Cic. Tusc. 3, 32. *Quid enim dicemus, cum Socrates Alcibiadi persuasisset, ut accepimus, eum nihil hominis esse, nec quidquam inter Alcibiadem summo loco natum, et quemvis bajulum interesse, tum se Alcibiades afflictaret, lacrimasque Socrati supplex esset, ut sibi virtutem traderet, turpitudinemque depelleret*, et q. s.

2 Faber tautologiam, puto, in his verbis reperire sibi visus corrigebat, ὡς ὑπὸ σοῦ ἐπαιδαγωγήθην sive ὡς σὺ ἐμὲ ἐπαιδαγώγησας. Ferri tamen potest vulgata, si hac paraphrasi eam explanes: Personas jam mutabimus: ego enim fiam ὁ παιδαγωγῶν, tu vero ὁ παιδαγωγούμενος. De hoc verbo autem v. Ind.

bia haec particula et a superioribus et a subsequentibus sejuncta legitur, adjecta marginali nota „Ejusdem", qua novum alias fragmentum indicari solet: verba autem illa, *Τὸ δὲ γιγνώσκειν — Πάνυ γε*, ut superiorem partem ibi claudunt, ita proxime sequentem ordiuntur. Unde satis videbatur patere, Stobaeum, sive quicunque verba de quibus agimus inseruerit, brevius illud diverbium utroque loco, ad seriem orationis illo emblemate interruptae, necessarium putasse. Ad illam autem quam modo tetigi sententiarum concinnitatem efficiendam, vulgata quoque quamvis breviora videbantur tamen sufficere posse: modo ne jungeretur in superioribus *τῷ θείῳ αὐτῆς*, sed *τοῦτο αὐτῆς ἔοικε τῷ θείῳ*, hoc est hic ut alibi, *τῷ θεῷ*. Ob id ipsum autem, quod nimis breviter haec tractata viderentur, alium aliquem e Platonicis forsitan Stobaeana illa inseruisse autumabat Schleiermacher.

Verum ex hoc ipso, quod Platonicus hic quoque fuisse consendus est, apparet, quam parvi tota quaestio sit momenti, quamque nulla fere ex ipsa re sententiisque indicia duci possint. Quod longe sane aliter esset, si, quod nemo facile hodie contendet, ipse Plato hunc dialogum scripsisset. Illa autem extrema indicia facile removeas ita ut, quod profecto nihil mirum, in consarciendis Stobaeanis illis excerptis, turbatum hic aliquo modo esse putes. Certe de hoc dubitari nequit, auctorem horum verborum inserta voluisse ea statim post illa, *οὕτω καὶ αὐτὸν ἂν γνοίη μάλιστα. Φαίνεται.* Atqui eo ipso loco reyera leguntur apud *Eusebium*, verbis tamen in ipsa commissura corruptis in hunc modum: *φαίνεται γὰρ οὖν ὃΘ' ὥσπερ —*, quae facile emendantur ita: *Φαίνεται. Ἆρ' οὖν ὥσπερ —*: cum apud Stobaeum molesto asyndeto scriptum sit *Ἆρ' ὥσπερ.* Illa autem minor colloquii particula, quae bis legitur apud Stobaeum, apud Eusebium, qui in his, — *ἡμᾶς αὐτούς. Ναί.* — excerptionem suam absolvit, non comparet. Itaque non est cur, quae a duobus antiquorum scriptorum decerptoribus diversimode nobis porriguntur, rejiciamus. Posse enim etiam sine homoeoteleuto mera scribae supinitate particulas dialogi alicujus, longiores, breviores, excidere, quis quaeso negarit? Atque sic tandem huic nostrae sententiae haud spernendum documentum accedit in iis quae leguntur inferius §. 60. b. *Καὶ, ὅπερ γε ἐν τοῖς πρόσθεν ἐλέγομεν, εἰς τὸ θεῖον καὶ λαμπρὸν ὁρῶντες πράξετε.* Nam haec *τοῦ λαμπροῦ* appellatio in superioribus non legitur nisi in controversa illa sermonis parte; neque admodum satisfacit Schleiermacheri observatio, verba *ὅπερ — ἐλέγομεν* referri posse ad solum hoc *εἰς τὸ θεῖον*, ut *τὸ λαμπρὸν* hic demum a scriptore adjectum sit.

ΑΛΚΙΒΙΑΔΗΣ ΔΕΥΤΕΡΟΣ

Η

ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ *).

Colloquuntur et hic soli

SOCRATES et

ALCIBIADES.

Quorum illo coronatum Alcibiadem offendente, precandique causa in templum proficiscentem, sermo fit de Precibus sive de Voto. Docet autem juvenem Socrates, preces esse rem maximi momenti; debere enim prius nos scire, quid sit bonum, quid malum, ne inviti et inscii mala nobis apprecemur. Nescire vero id homines plerosque. Quare deos simpliciter esse rogandos, ut bona dent, mala depellant. Non autem splendida donaria, neque ipsa rite peracta sacrificia placere diis, sed mentem piam, bonam, modestam; quod exemplo Lacedaemoniorum probat.

Hunc dialogum Diogenes quidem Laërtius sine ulla suspicionis nota inter genuinis Platonis operibus recensuit, laudantque ut Platonis Aelianus V. H. 8, 7. et Grammatici e. g. Thomas Mag. v. εὔχομαι. Verum ex Athenaeo 11. p. 506. c. discimus fuisse jam inter antiquos qui Xenophonti tribuerent. Quae opinio etsi nemini quod sciam e recentioribus criticis se probavit, in eo tamen omnes fere quibus hodie aliquid in hisce rebus auctoritatis est consentiunt, Platonis hunc librum non esse; quippe qui ab illius disserendi ratione multum dissideat et plurima tanquam certa

*) Inscriptio e Diog. Laert. 3, 59. petita.

ὄντε εἶναι ἢ φρόνιμον, ἢ ἄφρονα [2]; ἢ ἔξι τι διὰ μέσου τρίτον πάθος, ὃ ποιεῖ τὸν ἄνθρωπον μήτε φρόνιμον μήτε ἄφρονα; ΑΛ. Οὐ δῆτα. ΣΩ. Ἀνάγκη ἄρα ἓξὶ τὸ ἕτερον 3 τούτων πεπονθέναι. ΑΛ. Ἔμοιγε δοκεῖ. ΣΩ. Οὐκοῦν μέμνησαι ὁμολογήσας ὑπεναντίον εἶναι μανίαν φρονήσει; ΑΛ. Ἔγωγε. ΣΩ. Οὐκοῦν καὶ μηδὲν εἶναι διὰ μέσου τρίτον πάθος, ὃ ποιεῖ τὸν ἄνθρωπον μήτε φρόνιμον μήτε ἄφρονα εἶναι; ΑΛ. Ὡμολόγησα γάρ. ΣΩ. Καὶ μὴν δύο γε ὑπεναντία ἑνὶ πράγματι πῶς ἂν εἴη; ΑΛ. Οὐδαμῶς. ΣΩ. Ἀφροσύνη ἄρα καὶ μανία κινδυνεύει ταυτὸν εἶναι. ΑΛ. b. Φαίνεται. ΣΩ. Πάντας οὖν ἂν φάντες [3], ὦ Ἀλκιβιάδη, τοὺς ἄφρονας μαίνεσθαι, ὀρθῶς ἂν φαίημεν [4]. αὐτίκα τῶν σῶν

2 Sic tres opt.: alii *Εἰ δοκεῖ σοι οἷόντε*: alii *Δοκεῖ σοι οἷόντε*. Quae omnia manifesto sunt corrupta. Nos autem melius quidquam afferre non possumus eo, quod olim proposuimus: *Εἰ δοκεῖ σοι ἀνάγκη, εἶναι ἢ φρόνιμον ἢ ἄφρονα*. Quanquam exemplum non suppetat ejus breviloquentiae pro: *Εἰ δοκεῖ σοι ἀνάγκη εἶναι, ἄνθρωπον ὄντα εἶναι ἢ φρόνιμον ἢ ἄφρονα*. Vocem tamen *ἀνάγκη* requirere videntur praecedentia, et expressit eandem Ficinus, vertens: *Opinaris hominem aut prudentem aut imprudentem esse oportere?* et mox ipse Socr. repetit in his: *Ἀνάγκη ἄρα ἐξὶ —*.

3 Prius hoc *ἄν* ad *φάντες* proprie non pertinet cum hoc sit pro *εἰ φαίημεν*: ita infra §. 14. *ἆρ' οὐκ ἂν ὀρθῶς λέγοιμεν, φάντες —*. Verum hic ubi primum locum habet *φάντες*, ne absolute id positum videatur, praecipitur statim vocula *ἄν*, quae nihilominus suo loco repetitur. Sic etiam §. 8. *οἱ δὲ πολλοὶ οὐδὲ ἂν τυραννίδος διδομένης ἀπόχοιντο ἄν*. STRUV. Conf. Ind. *ἄν*.

4 *Schleiermachero* interrogative haec videntur efferenda, quoniam, ut e sequentibus patet, haec non est ipsius Socratis sententia. Recte sane. Tamen veram interrogationem, signo etiam suo notandam, in talibus non agnosco, quale est etiam praecedens illud *Ἀφροσύνη ἄρα κ. τ. λ.* Quippe per vocula *ἄρα* et *οὖν* in tali colloquio mihil revera asseritur, sed enthymemata tantum proponuntur quae alterius sive affirmationem sive exceptionem expectant. Quae tamen in vulgatis Platonis exemplis hic post *φαίημεν* inseritur ejusmodi Alcibiadis affirmatio *Nai*, ea praeter Ven. ΔΣ in nullo codice comparet; neque expressit Ficinus. Quos sequimur. Melius enim vox *αὐτίκα* praecedenti sermoni statim subnectitur; quo facto Socrates affirmationem Alcibiadis praeripit iterum, sermonem suum continuans illo *ἐπεί*. Tunc autem non amplius locus est illi affirmationi, quae in superioribus jam continetur: quare sententiae huic, *ἄφρονας εἶναι τοὺς πολλούς*, statim addit Socrates haec, *οὓς δὴ σὺ μαι-*

ἡλικιωτῶν εἴ τινες τυγχάνουσιν ἄφρονες ὄντες, ὥσπερ εἰσὶ, καὶ τῶν ἔτι πρεσβυτέρων. ἐπεὶ, φέρε πρὸς Διὸς, οὐκ οἴει τῶν ἐν τῇ πόλει ὀλίγους μὲν εἶναι τοὺς φρονίμους, ἄφρονας δὲ [5] τοὺς πολλοὺς, οὓς δὴ σὺ μαινομένους καλεῖς; ΑΛ. Ἔχωγε. ΣΩ. Οἴει [6] ἂν οὖν χαίροντας ἡμᾶς εἶναι μετὰ τοσούτων μαινομένων πολιτευομένους, καὶ οὐκ ἂν παιομένους καὶ βαλλομένους, καὶ ἅπερ εἰώθασιν οἱ μαινόμενοι διαπράττεσθαι, πάλαι δὴ δίκην δεδωκέναι; ἀλλ' ὅρα, ὦ μακάριε, μὴ οὐχ οὕτω ταῦτ' ἔχει [7]. ΑΛ. Πῶς ἂν οὖν ποτ' ἔχοι, ὦ Σώκρατες; κινδυνεύει γὰρ οὐχ οὕτως ἔχειν ὥσπερ ᾠήθην. ΣΩ. Οὐδ' ἐμοὶ δοκεῖ. ἀλλὰ τῇδέ πῃ ἀθρητέον. ΑΛ. Πῇ ποτε λέγεις; ΣΩ. Ἐγὼ δὴ σοίγε ἐρῶ. ὑπολαμβάνομέν γέ τινας εἶναι νοσοῦντας, ἢ οὔ; ΑΛ. Πάνυ μὲν οὖν. ΣΩ. Ἆρ' οὖν δοκεῖ σοι ἀναγκαῖον εἶναι τὸν νοσοῦντα ποδαγρᾷν, ἢ πυρέττειν, ἢ ὀφθαλμιᾷν; ἢ οὐκ ἂν δοκεῖ σοι, καὶ μηδὲν τούτων πεπονθὼς, ἑτέραν νόσον νοσεῖν; πολλαὶ γὰρ δήπου γέ εἰσι, καὶ οὐχ αὗται μόναι. ΑΛ. Ἔμοιγε δοκοῦσιν. ΣΩ. Ὀφθαλμία οὖν σοι δοκεῖ πᾶσα, νόσος εἶναι; ΑΛ. Ναί. ΣΩ. Ἆρ' οὖν καὶ πᾶσα νόσος, ὀφθαλμία; ΑΛ. Οὐ δήτα ἔμοιγε. ἀπορῶ μέντοι πῶς λέγω. ΣΩ. Ἀλλ' ἐὰν ἔμοιγε προσέχῃς τὸν νοῦν, σύν τε δύο σκεπτομένω τυχὸν εὑρήσομεν [1]. ΑΛ. Ἀλλὰ προσέχω, ὦ Σώκρατες, εἰς δύναμιν τὴν ἐμήν.

c.

4

b.

p.140

μαινομένους καλεῖς, ut eo citius eluceat illius assertionis paradoxia.

Cum hoc sit notum illud Stoicorum paradoxon (Cic. Parad. 4.), ὅτι πᾶς ἄφρων μαίνεται, tempore illius sectae scriptus videri potest hic dialogus. *BOECKH.*

5 Be. cum Clark. Vat. Ven. δὲ δή.

6 V. ad. Alcib. I. 4. not. 2.

7 Indicativum particulae μή additum, quando certum est loquenti quod verendum esse dicit, supra vidimus Meno. 26. not. 1. in Aoristo. In Praesenti lubrica res, cum tam facilis sit lapsus inter ἔχει et ἔχῃ; quare hic non tantum consensum omnium codicum memoramus, sed exemplum quoque simillimum, quod e Lachete ministravit Heindorfius (p. 196. c.) ἀλλ' ὁρῶμεν μὴ Νικίας οἴεταί τι λέγειν καὶ οὐ λόγου ἕνεκα ταῦτα λέγει. Nam alterum ib. 187. b. a codicum scriptura nunc non amplius certum, ubi Bekker reposuit κινδυνεύηται, Stephano et uno cod. dantibus εται, et συμβαίνῃ cum Steph., codicibus tamen omnibus dantibus —ει.

1 Homerica imitatio. Iliad. κ, 224: Σύν τε δύ' ἐρχομένω καί τε πρὸ ὁ τοῦ ἐνόησεν. — σύν τε δύο h. e. καὶ σύνδυο. — Pro vulg. σχεδὸν aptius τυχὸν dederunt optimi.

2 Ita

ΣΩ. Οὐκοῦν ὡμολογήθη ἡμῖν ὀφθαλμία μὲν πᾶσα, νόσος εἶναι, νόσος μέντοι οὐκ εἶναι πᾶσα, ὀφθαλμία; ΑΛ. Ὡμολογήθη. ΣΩ. Καὶ ὀρθῶς γέ μοι δοκεῖ ὁμολογηθῆναι. καὶ γὰρ οἱ πυρέττοντες πάντες νοσοῦσιν, οὐ μέντοι οἱ νοσοῦντες πάντες πυρέττουσιν, οὐδὲ ποδαγρῶσιν [2], οὐδέ γε ὀφθαλμιῶσιν, οἶμαι· ἀλλὰ νόσος μὲν πᾶν τὸ τοιοῦτόν ἐστι, διαφέρειν δέ [3] φασιν οὓς δὴ καλοῦμεν ἰατροὺς τὴν ἀπεργασίαν αὐτῶν. οὐ γὰρ πᾶσαι οὔτε ὅμοιαι οὔτε ὁμοίως διαπράττονται, ἀλλὰ κατὰ τὴν αὑτῆς δύναμιν ἑκάστη [4] νόσοι μέντοι πᾶσαί εἰσιν. ὥσπερ δημιουργούς τινας ὑπολαμβάνομεν, ἢ οὔ; ΑΛ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν τοὺς σκυτοτόμους, καὶ τέκτονας, καὶ ἀνδριαντοποιούς, καὶ ἑτέρους παμπληθεῖς, οὓς τί δεῖ καθ' ἕκαστα λέγειν; ἔχουσι δ' οὖν διειλημμένην δημιουργίας μέρη, καὶ πάντες οὗτοί εἰσι δημιουργοί· οὐ μέντοι εἰσὶ τέκτονές γε, οὐδὲ [5] σκυτοτόμοι, οὐδὲ ἀνδριαντοποιοί, οἳ ξύμπαντες εἰσὶ δημιουργοί. ΑΛ. Οὐ δῆτα. ΣΩ. Οὕτω μὲν τοίνυν καὶ τὴν ἀφροσύνην διειλημμένην εἰσί· καὶ τοὺς μὲν πλείω μέρος ἔχοντας μαινομένους καλοῦμεν, τοὺς δ' ὀλίγον ἔλαττον, ἠλιθίους τε καὶ ἐμβροντήτους· οἱ δὲ ἐν εὐφημοτάτοις ὀνόμασι βουλόμενοι κατονομάζειν, οἱ μὲν μεγαλοψύχους, οἱ δὲ εὐήθεις, ἕτεροι δὲ ἀκάκους, καὶ ἀπείρους, καὶ ἐνεούς. εὑρήσεις δὲ καὶ ἕτερα πολλὰ ἀναζητῶν ὀνόματα. πάντα δὲ ταῦτα ἀφροσύνη ἐστί· διαφέρει δὲ, ὥσπερ τέχνη τέχνης ἡμῖν κατεφαίνετο, καὶ νόσος νόσου. ἢ πῶς σοι δοκεῖ; ΑΛ. Ἐμοὶ

2 Ita iidem pro vulg. ποδαγρεῦσιν, quae non videtur esse legitima apud antiquiores forma. Nam formam in ῶν, quam amant haec verba, propiorem praebet nomen ποδάγρα: quod secus est in ὕδερος, ὕδρωψ al. quae mutuant formam in ιᾶν ab illo ὀφθαλμιᾶν et similibus, derivatis a subst. in ία.

3 Vulgo δή. Alterum, quod requirit series orationis et exprimit Ficini versio, non inventum tamen est nisi in Par. B. et e corr. in Coisl.

4 Ficinum, et qui eum olim sequebamur, de curatione haec intelligentes, Schneider correxit in Lexico v. διαπράττω (v. Ind. in ἀπεργ. et διαπρ.), certissimam simul proponens emendationem ὅμοια pro ὅμοιαι. Nam istud οὐχ ὅμοιαι in superioribus jam satis superque comprehensum est: particula γάρ autem, quae spectat ad διαφέρειν τὴν ἀπεργασίαν, necessario introducere debet hunc sensum, morbos diversa diversimode operari. Codd. optimi ὅμοιοι quod eodem ducit: vid. Bast. App. ad Greg. Cor. p. 769.

5 Cl. Vat. Ven. καί.

6 In-

μὲν οὕτως. ΣΩ. Οὐκοῦν ἀπ' ἐκείνου πάλιν ἐπανέλθωμεν. ἦν γὰρ δήπου καὶ ἐν ἀρχῇ τοῦ λόγου, ἀκεπτέον εἶναι τοὺς ἄφρονάς τε καὶ φρονίμους, τίνες ποτ' εἰσίν. ὡμολόγητο γὰρ εἶναί τινας· ἢ γὰρ οὔ [6]; ΑΛ. Ναὶ, ὡμολόγηται [7]. ΣΩ. Ἆρ' οὖν τούτους φρονίμους ὑπολαμβάνεις, οἳ ἂν εἰδῶσιν d.
ἅττα δεῖ πράττειν καὶ λέγειν; ΑΛ. Ἔγωγε. ΣΩ. Ἄφρονας δὲ ποτέρους; ἆρά γε τοὺς μηδέτερα τούτων εἰδότας; ΑΛ. Τούτους. ΣΩ. Οὐκοῦν οἵγε μὴ εἰδότες μηδέτερα τούτων λήσουσιν αὐτοὺς καὶ λέγοντες καὶ πράττοντες [8] ἅττα μὴ δεῖ; ΑΛ. Φαίνεται. ΣΩ. Τούτων μέντοι ἔλεγον, ὦ Ἀλ- 6
p.141 κιβιάδη, καὶ τὸν Οἰδίπουν εἶναι τῶν ἀνθρώπων. εὑρήσεις δὲ καὶ τῶν νῦν ἔτι πολλοὺς, οὐκ ὀργῇ κεχρημένους, ὥσπερ ἐκεῖνον, οὐδ' οἰομένους κακά σφισιν εὔχεσθαι, ἀλλ' ἀγαθά, ἐκεῖνος μὲν, ὥσπερ οὐδ' ἠύχετο [1], οὐδ' ᾤετο· ἕτεροι δέ τινές εἰσιν οἳ τἀναντία τούτων πεπόνθασιν. ἐγὼ [2] μὲν γὰρ b.
οἶμαί σε πρῶτον [3], εἴ σοι ἐμφανὴς γενόμενος ὁ θεὸς, πρὸς ὃν τυγχάνεις πορευόμενος, ἐρωτήσειε, πρὶν ὁτιοῦν εὔξασθαί σε, εἰ ἐξαρκέσει σοι τύραννον γενέσθαι τῆς Ἀθηναίων πόλεως· εἰ δὲ τοῦτο φαῦλον ἡγήσαιο καὶ μὴ μέγα τι, προσθείη, καὶ πάντων τῶν Ἑλλήνων· εἰ δέ σε ὁρῴη ἔτι ἐλατ- c.

6 Insolita formula: cum alias subjici soleat ἢ γάρ; possit etiam ἢ οὔ. Quare multum faveo manui corrigenti in Coisl. ἢ γάρ; ἢ οὔ;

7 Steph. vult: Ναὶ ὡμολόγητο, quod Socrates interrogans hoc tempore utatur. Sed nimia haec esset diligentia in respondendo. Socrates ob nexum sui sermonis interrogare debuit ita, *Conveneratne* (tum) *inter nos* —? Responderi potest absolute tempore perfecto *Convenit*.

8 Ita pro vulg. λέγοντας καὶ πράττοντας nunc recte editur e Stob. p. 60. et cod. Ven. F. Conf. supra 1. c. et infra 9. c.

1 Ἤυχετο, intell. ἀγαθά. Prius autem οὐδέ, quod habent libri omnes, nunc restitui loco ejus quod suadente Stephano olim responueram, οὐκ. Etiamsi enim ratio hoc poscere videtur, est tamen in his aliquid reciproci, quod in affirmativa sententia certe ita enuntiaret Atticus sermo: ὥσπερ καὶ ἤυχετο, οὕτω καὶ —.

2 Eadem fere quae hinc sequuntur leguntur etiam in Alc. I. *l.* vixque dubium esse potest quin ex horum locorum altero in alterum haec transumpta sint. Sed cum neuter dialogus legitimus Platonis fetus habendus sit, lubricum est quidquam ulterius statuere. Id tamen Schleiermachero concedendum puto, hic melius quam illic haec cum ceteris cohaerere.

3 Πρῶτον insertum ex opt. et plur.

4 Cod.

τον δοκοῦντα ἄγειν, εἰ μὴ καὶ πάσης Εὐρώπης ὑποζαίη σοι [4], καὶ τοῦτο μὴ μόνον ὑποζαίη, αὐθημερόν σου βουλομένου ὡς πάντας αἰσθέσθαι, ὅτι Ἀλκιβιάδης ὁ Κλεινίου τύραννός ἐστιν· αὐτὸν οἶμαι ἂν σε ἀπέναι περιχαρῆ γενόμενον, ὡς τῶν μεγίστων ἀγαθῶν κεκυρηκότα. [5] ΑΛ. Ἐγὼ μέν οἶμαι, ὦ Σώκρατες, κἂν ἄλλον ὁντινοῦν, εἴπερ τοιαῦτα ξυμβαίη αὐτῷ. ΣΩ. Ἀλλὰ μέντοι ἀντί γε τῆς σῆς ψυχῆς οὐδ' ἂν τὴν πάντων Ἑλλήνων τε καὶ βαρβάρων χώραν τε καὶ τυραννίδα βουληθείης σοι γενέσθαι. ΑΛ. Οὐκ οἶμαι ἔγωγε· πῶς γὰρ ἄν, μηδέν γέ τι μέλλων αὐτοῖς χρήσεσθαι; ΣΩ. Τί δ', εἰ μέλλοις κακῶς τε καὶ βλαβερῶς χρῆσθαι, οὐδ' ἂν οὕτως; ΑΛ. Οὐ δῆτα. ΣΩ. Ὁρᾷς οὖν, ὡς οὐκ ἀσφαλὲς οὔτε τὰ διδόμενα εἰκῇ δέχεσθαί σε [1], οὔτε αὐτὸν

4 Cod. Par. G. *Εὖρ. καταζήσοι*, unde si feceris *καταζήσειε* sc. *τύραννον*, melius cohaereat oratio.

5 Paulo implicatior est structura horum verborum, ita tamen ut diligentem lectorem ratio eorum fugere non possit. Quare duo tantum monebo. Nam primum verba *μὴ μόνον ὑποζαίη* carent suo *ἀλλὰ καὶ*, ideo quod e sequentibus his *αὐθημερόν σου βουλομένου* — mente illud facile suppleatur; ut si quis dicat „togam non modo concessi, cum ille tunicam quoque peteret." Deinde vocula *ὡς* ante *πάντας* structuram impedit, cum neque *βούλομαι ὡς αἰσθέσθαι* usu firmetur (quamquam conferri tamen possit illa codicum scriptura, *δόξω ὡς ἀμελήσαι* in Crit. 3.), neque *ὡς πάντας* pro simplici *πάντας*. Nam Thucydideum illud *ὡς ἕκαστοι* huc trahere nolim, cum nonnisi Nominativo casu usurpetur, quod manifestum est ellipsis indicium, de qua vid. Abresch. Dilucid. Thucyd. ad 4, 93: neque locutiones alias, de quibus egit Heindorf. ad Cratyl. 27. Phaedo. 90. *ὡς δεινόν, ὡς ὠμά*, et similes, quas nemo non videt natas esse exclamatione; omnium autem minime superlativos *ὡς τάχιστα* etc. — Codicum Cl. Vat. Ven. scripturam *αἰσθήσεσθαι* merum sphalma esse arbitror.

1 Schneidero importunum videbatur *σέ*, quo tamen non offendor magnopere. Certe nihil impedit, quo minus pronomini definito subjiciatur communius *τίς*. Ceterum in solis Codd. Par. E, Ven. *Σ*, haec est scriptura, in reliquis omnibus prorsus mendose *τε*. Mox indicativus *μέλλει* nititur ille quidem solo cod. E, sed vindicare eum non dubito contra optativum ceterorum omnium. Nam *εἰ μέλλοι* hypotheticum est, ut in superioribus illis *εἰ μέλλοις*, quod idem est ac si dixisset „si scias cum tuo malo te illis usurum esse, non tibi ea appreceris." Contra hic *εἴ γε*, ut plerumque, valet *siquidem, quandoquidem*, remque respicit superius demonstratam. Sensus est: *Non tutum tibi est, temere accipere ne illa quidem quae offerun-*

εὔχεσθαι γενέσθαι, εἴ γέ τις βλάπτεσθαι μέλλει διὰ ταῦτα, ἢ τοπαράπαν τοῦ βίου ἀπαλλαγῆναι. πολλοὺς δ' ἂν ἔχοι- b.
μεν εἰπεῖν ὅσοι τυραννίδος ἐπιθυμήσαντες ἤδη [2], καὶ σπου-
δάσαντες τοῦτ' αὐτοῖς παραγενέσθαι, ὡς ἀγαθόν τι πρά-
ξοντες [3], διὰ τὴν τυραννίδα ἐπιβουλευθέντες τὸν βίον ἀφη-
ρέθησαν. οἶμαι δέ σε οὐκ ἀνήκοον εἶναι ἔνιά γε ἤδη τε c.
καὶ πρωΐζὰ γεγενημένα [4]· ὅτε Ἀρχέλαον [5] τὸν Μακεδόνων

runtur — si quidem fieri potest ut damno aliquis inde afficiatur. Istud *fieri potest* graece hic est *μέλλει*. Sane alias id fere, quod certe eventurum esse putat qui loquitur, indicat verbum *μέλλειν*; verum hanc certitudinem si tollere voluisset auctor, ita opinor scripsisset, *εἴ γε μέλλοις ἄν* (vid. Meno. 12. d. not. 6.): solo autem optativo ponendo, hypotheticam, etiam cum illo *γε*, orationem reddidisset, quae hinc aliena est. Maluit autem scriptor ipsum verbum *μέλλειν* ob vim quam habet futuri, per se incerti, usurpare de eo quod fieri potest, ut fecit etiam infra 8. c. in his, *ἢ μέλλων δι' εὐχῆς τεύξεσθαι*: quod in periculis praemonendis gravius esse nemo non sentit.

2 Est insolentius quid in positu maxime hujus *ἤδη*, quod fecit ut insolentem etiam significationem olim ei tribuerem: nunc non dubito quin ita intelligendum sit ac si scriptum esset hic quidem ita: *πολλοὺς ἔχοιμεν ἂν εἰπεῖν γεγονότας ἤδη, οἳ — ἐπιθυμήσαντες — — ἀφηρέθησαν*: et simili ratione etiam mox d. et 8, a.

3 Cl. Vat. Ven. *πράξαντες*, quod adoptavit Be.: ego illud sine *ἄν* hic stare posse non putem. Lit tantum non sollemnis est in hac forma lapsus librariorum.

4 Homerica locutio. Il. *β*, 303: *Χθιζά τε καὶ πρωΐζ', ὅτ' ἐς Αὐλίδα νῆες Ἀχαιῶν Ἤγερέθοντο.* Attici *χθὲς καὶ πρώην*. Usurpant autem de re cujus recens memoria est. Sic in Gorgia p. 470. d. de eodem Archelao per scelera regnum adepto, *τὰ ἐχθὲς καὶ πρώην γεγονότα.*

5 Archelaus apud quem fuit gratiosus Plato teste Athenaeo 11, 21., occisus est ab amasio, qui apud Aelianum quidem V. H. 8, 9. [et ap. Plutarchum in Amatorio p. 768.] vocatur *Crateuas*, apud Diodorum Sic. vero 14, 37. et in Man. Moschopuli Vita Eurip. (p. 53. ed. Lips.) *Craterus*. Tradit autem Diodorus quidem, imprudenter in venatione ab amasio interfectum esse, post eumque regnasse Orestem filium. Sed Aristoteli (Polit. 5, 10. Ed. Schneid. 5, 8, 11.) major fides habenda, qui *Crataeum* (sic enim ab illo nominatur) dicit conjurasse in amatoris caput una cum Hellanocrate. *GOTTL.*

Interiit Archelaus Ol. 95, 1. post mortem Socratis, Alcibiade jam IV annos antea anno aetatis circiter quadragesimo mortuo, quem tamen etiam in hoc dialogo juvenem admodum fingi satis apparet. Neque enim anachronismos in scriptionibus hoc genus refugiebant veteres. Quanquam hunc quidem ni-mium et ignorantiae potius scrip-

τύραννον τὰ παιδικὰ, ἐρασθέντα τῆς τυραννίδος οὐδὲν ἧττον ἢπερ ἐκεῖνος τῶν παιδικῶν, ἀπέκτεινε τὸν ἐραστὴν, ὡς τύραννός τε καὶ εὐδαίμων ἀνὴρ ἐσόμενος. κατασχὼν δὲ τρεῖς
d. ἢ τέτταρας ἡμέρας τὴν τυραννίδα, πάλιν αὐτὸς ἐπιβουλευθεὶς ὑφ' ἑτέρων τινῶν ἐτελεύτησεν. ὁρᾷς δὴ καὶ τῶν ἡμετέρων πολιτῶν· ταῦτα γὰρ οὐκ ἄλλων ἀκηκόαμεν, ἀλλ' αὐτοὶ παρόντες οἴδαμεν· ὅσοι στρατηγίας ἐπιθυμήσαντες ἤδη, p. 142
καὶ τυχόντες αὐτῆς, οἱ μὲν ἔτι καὶ νῦν φυγάδες τῆσδε τῆς
e. πόλεώς εἰσιν, οἱ δὲ τὸν βίον ἐτελεύτησαν· οἱ δὲ ἄρισα δοκοῦντες αὐτῶν πράττειν, διὰ πολλῶν κινδύνων ἐλθόντες καὶ φόβων, οὐ μόνον ἐν ταύτῃ τῇ στρατηγίᾳ, ἀλλ' ἐπεὶ εἰς τὴν ἑαυτῶν κατῆλθον, ὑπὸ τῶν συκοφαντῶν πολιορκούμενοι πολιορκίαν οὐδὲν ἧττον τῆς ὑπὸ τῶν πολεμίων διετέλεσαν· ὥστε ἐνίους αὐτῶν εὔχεσθαι ἀστρατηγήτους [6] εἶναι μᾶλλον
8 ἢ ἐστρατηγηκέναι. εἰ μὲν οὖν ἦσαν οἱ κίνδυνοί τε καὶ πόνοι φέροντες εἰς ὠφέλειαν, εἶχεν ἄν τινα λόγον· νῦν δὲ καὶ πολὺ τοὐναντίον. εὑρήσεις δὲ καὶ περὶ τέκνων τὸν αὐτὸν τρόπον,
εὐξαμένους τινὰς ἤδη γενέσθαι, καὶ γενομένων εἰς ξυμφοράς
b. τε καὶ λύπας τὰς μεγίστας καταστάντας. οἱ μὲν γὰρ, μοχθηρῶν διὰ τέλους ὄντων τῶν τέκνων, ὅλον τὸν βίον λυπούμενοι διήγαγον· τοὺς δὲ, χρηστῶν μὲν γενομένων, συμφοραῖς δὲ χρησαμένων, ὥστε στρηθῆναι, καὶ τούτους οὐδὲν εἰς ἐλάττονας δυστυχίας καθεζηκότας ἢπερ ἐκείνους, καὶ βουλομένους
c. ἂν ἀγένητα μᾶλλον εἶναι ἢ γενέσθαι. ἀλλ' ὅμως, τούτων τε καὶ ἑτέρων πολλῶν ὁμοιοτρόπων τούτοις οὕτω σαφόδρα καταδήλων ὄντων, σπάνιον εὑρεῖν ὅστις ἂν [1] ἢ διδομένων ἀπόσχοιτο, ἢ μέλλων δι' εὐχῆς τεύξεσθαι παύσαιτο ἂν εὐχόμενος,
d. οἱ δὲ πολλοὶ οὔτε ἂν τυραννίδος διδομένης ἀπόσχοιντο ἄν, οὔτε στρατηγίας, οὐδ' ἑτέρων πολλῶν, ἃ παρόντα βλάπτει μᾶλλον ἢ ὠφελεῖ· ἀλλὰ κἂν εὔξαιντο ἂν γενέσθαι, εἰ τῳ μὴ παρόντα τυγχάνει. ὀλίγον δὲ ἐπισχόντες ἐνίοτε παλινῳδοῦσιν,
e. ἀνευχόμενοι ἅττ' ἂν τοπρῶτον εὔξωνται. ἐγὼ μὲν οὖν ἀπορῶ μὴ ὡς ἀληθῶς μάτην θεοὺς ἄνθρωποι αἰτιῶνται, ἐξ

scriptoris aetate ab his temporibus remoti tribuendum esse censet Schleiermacher.

6 Ἀστρατήγητοι h. l. sunt qui nunquam ἐστρατήγησαν, ut docet analogia τῶν ἀγενήτων §. seq.

1 Observetur iteratio particulae ἄν hic et in proximis.

2 Sic

ἐκείνων φάμενοι κακὰ σφισιν εἶναι· οἱ δὲ καὶ αὐτοὶ σφῇσιν εἴτε ἀτασθαλίῃσιν, εἴτε ἀφροσύνῃσιν [2] χρὴ εἰπεῖν, ὑπὲρ μόρον ἄλγε' ἔχουσι [3]. κινδυνεύει γοῦν, ὦ Ἀλκιβιάδη, φρόνιμός τις εἶναι ἐκεῖνος ὁ ποιητὴς, ὃς δοκεῖ μοι φίλοις ἀνοήτοις τισὶ χρησάμενος, ὁρῶν αὐτοὺς καὶ πράττοντας καὶ εὐχομένους ἅπερ οὐ βέλτιον ἦν, ἐκείνοις δὲ ἐδόκει, κοινῇ ὑπὲρ ἁπάντων αὐτῶν εὐχὴν ποιήσασθαι. λέγει δέ πως ὧδε· Ζεῦ b.
p.143 βασιλεῦ, τὰ μὲν ἐσθλὰ, φησὶ, καὶ εὐχομένοις καὶ ἀνεύκτοις Ἄμμι δίδου, τὰ δὲ δεινὰ καὶ εὐχομένοις ἀπαλέξειν κελεύει [4]. ἐμοὶ μὲν οὖν καλῶς δοκεῖ καὶ ἀσφαλῶς λέγειν ὁ ποιητής· σὺ δ', εἴ τι ἐν νῷ ἔχεις πρὸς ταῦτα, μὴ σιώπα. ΑΛ. Χαλεπὸν, ὦ Σώκρατες, ἐξιν ἀντιλέγειν πρὸς τὰ καλῶς εἰρημένα. ἐκεῖνο δ' οὖν ἐννοῶ, ὅσων κακῶν αἰτία ἡ ἄγνοια τοῖς ἀνθρώποις· ὁπότε, ὡς ἔοικε, λελήθαμεν ἡμᾶς αὐτοὺς διὰ ταύτην καὶ πράττοντες καὶ τόγε ἔσχατον εὐχόμενοι ἡμῖν αὐτοῖς τὰ κάκιστα· ὅπερ οὖν οὐδεὶς ἂν οἰηθείη [5]. ἀλλὰ τοῦτό γε πᾶς ἂν οἴοιτο ἱκανὸς εἶναι, αὐτὸς αὑτῷ τὰ βέλτιστα εὔξασθαι, ἄλλ' οὐ τὰ κάκιστα. τοῦτο μὲν γὰρ ὡς ἀληθῶς κατέφρα τινὶ, ἀλλ' οὐκ εὐχῇ, ὅμοιον ἂν εἴη. ΣΩ. Ἀλλ' ἴσως, d.
ὦ βέλτιστε, φαίη ἄν τις ἀνὴρ ὃς ἐμοῦ τε καὶ σοῦ σοφώτερος ὢν τυγχάνοι [6], οὐκ ὀρθῶς ἡμᾶς λέγειν, οὕτως εἰκῇ ψέγοντας ἄγνοιαν, εἰ γε μὴ προσθείημεν τὴν ἕξιν ἣν τε ἄγνοιαν,

2 Sic tres optimi. Vulgo -αις.

3 Od. α, 32. ubi Juppiter:

Ὦ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται.
Ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ
Σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.

4 Leguntur hi duo versus in Antholog. Gr. (Brunck. Ἀδεσπ. 466) cum hac varietate, τὰ δὲ λυγρὰ καὶ εὐχομένοις ἀπερύκοις. In utraque scriptura praelatam vides ob metricas rationes (vid. Herm. Doctr. Metr. p. 350.) Imperativo in s graviorem vel Optativi vel Infinitivi formam. Vix enim dubito quin noster scriptor hoc ἀπαλέξειν tanquam ipsius poetae protulerit; etsi maluit idem sermoni suo illud intexere ope verbi κελεύει. — De voce δεινά hoc sensu in heroico versu usurpata dubitare me dixi in Lexil. I. 32, 5. et in nota suspicatus sum legendum hic forsitan esse δειλά: quam suspicionem tantum non confirmatam nunc invenio a codd. opt. qui infra §. 18., ubi haec verba repetuntur, exhibent δῆλα.

5 Vid. Ind. οἶν. Particula ἄν addita e Prisciano locum laudante p. 1148. Ibidem mox additur καί ante κατύρα.

6 Ita nunc editur Stephani monitu pro vulg. τυγχάνει.

καὶ ἔξιν οἷς, καὶ ἔχουσί πως ἀγαθὸν, ὥσπερ ἐκείνοις κακόν. ΑΛ. Πῶς λέγεις; ἔξι γὰρ ὁτιοῦν πρᾶγμα ὁτῳδὴ ῥᾳδιουργῶν ἔχοντι ἄμεινον ἀγνοεῖν ἢ γιγνώσκειν; ΣΩ. Ἔμοιγε δοκεῖ. σοὶ δ' οὔ; ΑΛ. Οὐ μέντοι μὰ Δία. ΣΩ. Ἀλλὰ μὴν οὐδ' ἐκεῖνό σου καταγνώσομαι, ἐθέλειν ἄν σε πρὸς τὴν ἑαυτοῦ [1] μητέρα διαπεπρᾶχθαι, ἅπερ Ὀρέσην φασὶ καὶ τὸν Ἀλκμαίωνα, καὶ εἴ δή τινες ἄλλοι ἐκείνοις τυγχάνουσι ταυτὰ διαπεπραγμένοι. ΑΛ. Εὐφήμει πρὸς Διὸς, ὦ Σώκρατες. ΣΩ. Οὗτοι τὸν λέγοντα, ὦ Ἀλκιβιάδη, ὡς οὐκ ἂν ἐθέλοις σοι ταῦτα πεπρᾶχθαι, εὐφημεῖν δεῖ σε κελεύειν, ἀλλὰ μᾶλλον πολὺ εἴ τις τὰ ἐναντία λέγοι. ἐπειδὴ [2] οὕτω σοι δοκεῖ σφόδρα δεινὸν εἶναι τὸ πρᾶγμα, ὥστ' οὐδὲ ῥητέον εἶναι οὕτως εἰκῇ, δοκεῖς [3] δ' ἂν τὸν Ὀρέσην, εἰ ἐτύγχανε φρόνιμος ὤν, καὶ εἰδὼς ὅτι βέλτιον ἦν αὐτῷ πράττειν, τολμῆσαι ἄν τι τούτων διαπράξασθαι; ΑΛ. Οὐ δῆτα. ΣΩ. Οὐδέ γε ἄλλον οἶμαι οὐδένα. ΑΛ. Οὐ μέντοι. ΣΩ. Κακὸν ἄρα, ὡς ἔοικεν, ἕξιν ἡ τοῦ βελτίσου ἄγνοια καὶ τὸ ἀγνοεῖν τὸ βέλτιστον [4]. ΑΛ. Ἔμοιγε δοκεῖ. ΣΩ. Οὐκοῦν καὶ ἐκείνῳ καὶ τοῖς ἄλλοις ἅπασι; ΑΛ. Φημί. ΣΩ. Ἔτι τοίνυν καὶ τόδε ἐπισκεψώμεθα· εἴ σοι αὐτίκα μάλα παραζαίη, οἰηθέντι βέλτιον εἶναι, Περικλέα, τὸν σεαυτοῦ ἐπίτροπόν τε καὶ φίλον,

1 Be. ex solo Paris. F reposuit σαυτοῦ, quod in re nondum satis explorata factum nollem. Vid. Ind. in ἑαυτοῦ.

2 Cum vocem ἐπειδή nulla alia conjunctio hic comitetur, Schleiermacher atque Bekker, omnia haec, ἐπειδὴ — — εἰκῇ, superioribus adhuc continuant. Male: etiam in hoc scriptore. Nam prorsus δαίμονιον est dicere, eum, cui *ne pronuntiandum quidem* hoc videatur, ferre debere si quis dicat, se *hoc fecisse nolle*. Contra qui vel negando hoc de se pronuntiari vetat, is recte censetur dicere, ne pronuntiandum quidem esse temere. Atqui hoc, quod solum recte incedere Ficinus quoque sensit, revera dicit Socrates, si post ἐπειδή inseris δέ. Nihilominus autem servandum est alterum quoque δέ in apodosi, quoniam duae hae propositiones extra protaseos et apodoseos formam oppositae sibi sunt. Vid. Exc. ad Demosth. Mid.

3 Mendose vulgo δοκῇς. Vid. ad Alcib. I. 4. n. 2. Particula ἄν pertinet ad Infinitivum τολμῆσαι, ubi ob interjectum sermonem repetita est.

4 Tautologia, cujus posterior pars scholio non quidem absimilis, non tamen ideo expungenda, cum ipsi scriptores sua interdum verba ita explicent.

5 Jun-

p.144 ἐγχειρίδιον λαβόντα, ἐλθόντα ἐπὶ τὰς θύρας, εἰπεῖν εἰ ἔνδον ἐστὶ [5], βουλόμενον ἀποκτεῖναι αὐτὸν ἐκεῖνον, ἄλλον δὲ μηδένα· οἱ δὲ φαῖεν, ἔνδον εἶναι· καὶ οὐ λέγω ἐθέλειν ἂν 11
σε τούτων τι πράττειν· ἀλλ' εἰ, οἶμαι, δόξειέ [1] σοι, ὅπερ οὐδὲν κωλύει δήπου τῷ γε ἀγνοοῦντι τὸ βέλτιζον παραζῆναί ποτε δόξαν, ὥστε οἰηθῆναι καὶ τὸ κάκιζόν ποτε βέλτιζον εἶναι· ἢ οὐκ ἂν δοκεῖ σοι [2]; ΑΛ. Πάνυ μὲν οὖν. ΣΩ. Εἰ οὖν παρελθὼν εἶσω, καὶ ἰδὼν αὐτὸν ἐκεῖνον, ἀγνο- b.
ήσαις τε καὶ οἰηθείης ἂν [3] ἄλλον εἶναί τινα, ἆρ' ἔτι ἂν αὐτὸν τολμήσαις ἀποκτεῖναι; ΑΛ. Οὐ μὰ τὸν Δία, οὐκ ἄν μοι δοκῶ [4]. ΣΩ. Οὐ γὰρ δήπου τὸν ἐντυχόντα ἀλλ' αὐτὸν ἐκεῖνον ὃν ἠβούλου [5]. ἦ γάρ; ΑΛ. Ναί. ΣΩ. Οὐ-

5 Junge *Περικλέα εἰπεῖν εἰ ἔνδον ἐστὶ* pro *εἰπεῖν* h. e. *ἐρέσθαι, εἰ ἔνδον ἐστὶ Περικλῆς*. De qua structura vid. Gramm. §. 138. I, 6. Hic autem, ut bene monet Struvius, praelata est haec structura ideo ut accusativus *Περικλέα* cum pondere praemitti posset, cum in animo haberet Socrates dicere, *Περικλέα τὸν σεαυτοῦ ἐπίτροπον ἀποκτεῖναι*. — Mox post verba *ἔνδον εἶναι* abrumpitur sermo, et paulo inferius resumitur verbis *Εἰ οὖν*.

1 Libri omnes *δόξει*: et supra quidem ad Alc. I. 26. d. Futurum in hypothesi tuebamur, quoniam id quod ibi a Socrate ponebatur ex iis erat quae fieri solent. Verum in tali qualem hic habemus fictione futurum indicativi absonum plane et inurbanum foret. Itaque scripsimus *δόξειε*, ut paulo ante *εἴ σοι — παραζαίη*. — In seqq. autem est Anacoluthia nata Epexegesi. Nam dicere volebat *εἰ δόξειέ σοι, ὅπερ οὐδὲν κωλύει* (sc. *δοκεῖν*) *τῷ γε ἀγνοοῦντι τὸ β.*, tum ad explicationem pronominis *ὅπερ*, adjicit hoc *παραζῆναί ποτε δόξαν* etc. plane ut in Meno. 13. ad pronomen *τοιοῦτόν τι* additur per epexegesin *ναρκᾶν*. Ita ut sejungere possis verbum *παραζῆναι* a superioribus, et latine vertere addito *nimirum*.

2 *Δοκεῖ* editum e mss. pro vulg. *δοκῇ*. Infinitivus ad quem spectat particula *ἂν* (v. ad Alc. I. 4. n. 2.) e proximis hic repetendus est, *οἰηθῆναι*.

3 Soli huic optativo e tot aliis qui a conjunctione *εἰ* hic pendent, additum est *ἄν*, contra morem: quare Struvio delenda videbatur particula quae facile sane hic ante *ἄλλον* irrepere potuit. Sed vid. ad Men. 40. not. 2. Nimirum in hoc *οἰηθῆναι ἄλλον τινὰ εἶναι*, quod tam parum credibile erat, imprimis inculcandum erat, poni hoc ideo, quoniam *fieri* tamen *possit*.

4 Ad *ἄν* intell. *τολμῆσαι*. Sed Cl. Vat. Ven. Coisl. omittunt haec *οὐκ α. μ. δ.*

5 Non amplius assentior Schleiermachero, *ὅν* istud delenti: nam primum non ita dura est, quam mihi videbatur olim repetitio, quae mente facienda est e superioribus ad illud *ἐκεῖνον*, sc. *τολμήσαις ἂν ἀπο-*

κοῦν καὶ εἰ πολλάκις ἐγχειροῖς [6], αἰεὶ δὲ ἀγνοοῖς τὸν Περικλέα, ὁπότε μέλλοις τοῦτο πράττειν, οὔποτε ἂν ἐπίθοιο αὐτῷ. ΑΛ. Οὐ δῆτα. ΣΩ. Τί δέ; τὸν Ὀρέσην δοκεῖς ἄν ποτε τῇ μητρὶ ἐπιθέσθαι, εἰ γε ὡσαύτως ἠγνόησεν; ΑΛ. Οὐκ οἶμαι ἔγωγε. ΣΩ. Οὐ γὰρ δήπου οὐδ' ἐκεῖνος τὴν προστυχοῦσαν γυναῖκα, οὐδὲ τὴν ὁτουοῦν μητέρα διενοεῖτο ἀποκτεῖναι, ἀλλὰ τὴν αὐτὸς αὑτοῦ. ΑΛ. Ἔχει ταῦτα. ΣΩ. Ἀγνοεῖν ἄρα τά γε τοιαῦτα βέλτιον τοῖς οὕτω διακειμένοις, καὶ τοιαύτας δόξας ἔχουσι. ΑΛ. Φαίνεται. ΣΩ. Ὁρᾷς οὖν, ὅτι ἡ ἔξις ὧν τε ἄγνοια, καὶ ἔξιν οἷς, καὶ ἔχουσί πως, ἀγαθὸν, ἀλλ' οὐ κακόν, ὥσπερ
12 ἄρτι σοι ἐδόκει; ΑΛ. Ἔοικεν. ΣΩ. Ἔτι τοίνυν εἰ βούλει τὸ μετὰ τοῦτο ἐπισκοπεῖν, ἄτοπον ὂν ἴσως ἄν σοι δόξειεν εἶναι [1]. ΑΛ. Τί μάλιστα, ὦ Σώκρατες; ΣΩ. Ὅτι, ὡς

ἀποκτεῖναι. Deinde, non primaria illa positio, velle Alcibiadem interficere Periclem, hic repetenda erat; quod quam inepte fieret addito ἢ γάρ; et ineptius etiam inserto δήπου, vix monere opus est: sed ponendum erat aliquid quod inde sequitur. „Non enim (illa nimirum hypothesi) quem sors offerret obtruncare sustineres, sed illum ipsum quem ab initio voluisses".

6 Optativi recepti sunt e maxima codicum parte pro vulgatis ἐγχειροῖς, ἀγνοεῖς, μέλλεις: et paullo post δοκεῖς pro δοκῇς: v. ad Alc. I. 4. n. 2.

1 Hanc vulgatam et plurimorum codd. scripturam adhucdum servo equidem, quia de emendanda ea nondum liquet. Quippe e tribus optimis Clark. et Ven. cum Par. G. (qui in hoc dialogo tribus illis plerumque se associat) habent ἄτοπον ἂν ἴσως ἄν σοι δόξειεν: Vat. ἄτ. ἂν ἴσως δόξειεν: et hanc quidem lectionem, servato tamen σοι, adoptavit Bekker, approbavit Schleierm. Cui rationi si sensus quoque ab omni parte satisfaceret, et ego accederem. Sed nunc, quantumvis ἄτοπος haec sententia videri debeat, omnes omnino scientias plerumque nocere, admodum tamen minuitur ἀτοπότης illa, cum adjicitur, *siquidem sine cognitione optimi illas adeptus sis.* Jam cum eo jam adductus sit Alcibiades, ut superiora illa concedat, quomodo quaeso fieri potest ut hoc potissimum etiamnum ἄτοπον ei videri debeat? Immo post illa Ὁρᾷς οὖν —, hoc transitu Ἔτι τοίνυν —, nihil aliud introduci potest, quam quod ἄτοπον quidem per se, nunc tamen probabile Alcibiadi videri debet. Atque sic plane Ficinus: *Praeterea si volueris, quod deinceps in medium afferetur mirabile dictu discutere, forte probabile tibi videbitur.* Unde Ficino istud *probabile*? Quod si ad sensum complendum ab eo insertum esse putas; ego eandem necessitatem sentio, atque excidisse hic aliquid

ἔπος εἰπεῖν, κινδυνεύει τό γε τῶν ἄλλων ἐπιστημῶν κτῆμα, ἐάν τις ἄνευ τοῦ βελτίστου κεκτημένος ᾖ, ὀλιγάκις μὲν ὠφελεῖν, βλάπτειν δὲ τὰ πλείω τὸν ἔχοντα αὐτά [2]. σκόπει δὲ b. ὧδε. ἆρ' οὐκ ἀναγκαῖόν σοι δοκεῖ εἶναι, ὅταν τι μέλλωμεν ἤτοι πράττειν ἢ λέγειν, οἰηθῆναι δεῖν [3] πρῶτον ἡμᾶς εἰδέναι, ἢ τῷ ὄντι εἰδέναι, τοῦτο ὃ ἂν προχειροτέρως μέλλωμεν ἢ λέγειν ἢ πράττειν; ΑΛ. Ἔμοιγε δοκεῖ. ΣΩ. Οὐκοῦν οἱ c. ῥήτορες αὐτίκα, ἤτοι εἰδότες ξυμβουλεύειν, ἢ οἰηθέντες εἰδέναι, ξυμβουλεύουσιν ἡμῖν ἑκάστοτε, οἱ μὲν περὶ πολέμου τε καὶ εἰρήνης, οἱ δὲ περὶ τειχῶν οἰκοδομίας ἢ λιμένων κατα- p.145 σκευῆς. ἑνὶ δὲ λόγῳ, ὅσα δήποτε ἡ πόλις πράττει πρὸς ἄλλην πόλιν, ἢ αὐτὴ καθ' αὑτήν, ἀπὸ τῆς τῶν ῥητόρων ξυμβουλῆς ἅπαντα γίγνεται; ΑΛ. Ἀληθῆ λέγεις. ΣΩ. Ὅρα d. τοίνυν καὶ τὰ ἐπὶ τούτοις, ἂν δυνηθῶ [4]. καλεῖς γὰρ δήπου φρονίμους τε καὶ ἄφρονας; ΑΛ. Ἔγωγε. ΣΩ. Οὐκοῦν τοὺς μὲν πολλοὺς ἄφρονας, τοὺς δ' ὀλίγους φρονίμους; ΑΛ. Οὕτως. ΣΩ. Οὐκοῦν πρός τι ἀποβλέπων, ἀμφοτέρους; ΑΛ. Ναί. ΣΩ. Ἆρ' οὖν τὸν τοιοῦτο ξυμβουλεύ- 13 ειν εἰδότα, χωρὶς τοῦ πότερον βέλτιον καὶ ὅτε βέλτιον [1], φρόνιμον καλεῖς; ΑΛ. Οὐ δῆτα. ΣΩ. Οὐδέ γε, οἶμαι, ὅστις τὸ πολεμεῖν αὐτὸ οἶδε, χωρὶς τοῦ ὁπότε βέλτιον, καὶ τοσοῦτον χρόνον ὅσον βέλτιον. ἦ γάρ; ΑΛ. Ναί. ΣΩ. Οὐκοῦν οὐδὲ εἴτις τινὰ ἀποκτιννύναι οἶδεν, οὐδὲ χρήματα b. ἀφαιρεῖσθαι, καὶ φυγάδα ποιεῖν τῆς πατρίδος, χωρὶς τοῦ ὁπότε βέλτιον καὶ ὄντινα βέλτιον. ΑΛ. Οὐ μέντοι. ΣΩ.

quid suspicor. Verum hoc quoque suspicari licet, pleniore illum textu usum esse, in quo fuerit: ἄτοπον ὄν, ἴσως εἰκὸς ἂν σοι δόξειεν εἶναι.

2 *Schleierm.* monet legendum esse ἄνευ τῆς τοῦ βελτίστου, et in fine sententiae *Schneider* αὐτό pro αὐτά. Recte uterque. Vid. §. 15. d.

3 Vid. Ind. Οἴεσθαι. — Ante οἰηθῆναι inserunt ἢ codd. omnes praeter Cl. Vat. Ven.

4 Ficinus vertendo omisit ἂν δυνηθῶ, quod sane adeo est a Socratis oratione alienum, ut ineptum facile atque expungendum videri possit. Sed blandiorem adhibere medicinam licet. Scribe — τούτοις. ΑΛ. Ἂν δυνηθῶ. ΣΩ. Καλεῖς γὰρ κ. τ. λ. Hermias. Non omisit Ficinus sed vertit, *si fieri potest.* Mihi videtur pro δυνηθῆς urbanius dictum esse δυνηθῶ intell. σαφῶς διηγεῖσθαι.

1 Pro τοιοῦτο Be. e Vat. et Ven. Π τοιοῦτον. Tum ὅτε solus Ven. Σ habet a manu rec.: ceteri omnes ὅ: Fic. *utrum melius et quid melius.* Mihi de toto nondum liquet.

Ὅστις ἄρα τι τῶν τοιούτων οἶδεν, ἐὰν μὲν παρέπηται [2] ἡ τοῦ βελτίσου ἐπιςήμη· αὕτη δ' ἦν ἡ αὐτὴ δήπου ἥπερ καὶ ἡ τοῦ ὠφελίμου· ἦ γάρ; ΑΛ. Ναί. ΣΩ. Φρόνιμόν γε [3] αὐτὸν φήσομεν, καὶ ἀποχρῶντα ξύμβουλον καὶ τῇ πόλει καὶ αὐτὸν αὑτῷ, τὸν δὲ μὴ ποιοῦντα ταναντία τούτων [4]. ἦ
d. πῶς δοκεῖ; ΑΛ. Ἐμοὶ μὲν οὕτω. ΣΩ. Τί δ', εἴ τις ἱππεύειν ἦ τοξεύειν οἶδεν, ᾗ αὖ παλαίειν, ἢ πυκτεύειν, ἤ τι τῆς ἄλλης ἀγωνίας, ἦ καὶ ἄλλο τι τῶν τοιούτων ὅσα τέχνῃ οἴδαμεν, τί καλεῖς ὃς ἂν εἰδῇ τὸ κατὰ ταύτην τὴν τέχνην βέλτιον γιγνόμενον [5]; ἆρ' οὐ τὸν κατὰ τὴν ἱππικὴν ἱππικόν; ΑΛ. Ἔγωγε. ΣΩ. Τὸν δέ γε, οἶμαι, κατὰ τὴν πυκτικὴν πυκτικόν, τὸν δὲ κατ' αὐλητικὴν αὐλητικόν, καὶ τἆλλα δήπου ἀνὰ λόγον τούτοις, ἦ ἄλλως πως; ΑΛ. Οὔκ· ἀλλ'
e. οὕτω. ΣΩ. Δοκεῖ οὖν σοι ἀναγκαῖον εἶναι, τὸν περὶ τούτων τι ἐπιςήμονα ὄντα ἄρα καὶ ἄνδρα φρόνιμον εἶναι; ἦ πολλοῦ φήσομεν ἐνδεῖν; ΑΛ. Πολλοῦ μέντοι, νὴ Δία. ΣΩ.
14 Ποίαν οὖν ῥᾴει πολιτείαν [1] εἶναι τοξοτῶν τε ἀγαθῶν καὶ αὐλητῶν, ἔτι δὲ ἀθλητῶν καὶ τῶν ἄλλων τεχνιτῶν, ἀναμεμιγμένων δ' ἐν τοιούτοις οἷς ἄρτι εἰρήκαμεν τῶν τε αὐτὸ τὸ πολεμεῖν εἰδότων καὶ αὐτὸ τὸ ἀποκτιννύναι, πρὸς δὲ, καὶ ἀνδρῶν ῥητορικῶν, πολιτικὸν φύσημα φυσώντων [2], ἀπάν-

2 Clark. Vat. Ven. Paris. G inserunt *αὐτῷ*, quod mihi quidem videtur esse ex interpretatione. Cf. 15. a. Mox ad Impf. *ἦν* cf. Alc. I. 51. n. 6.

3 Sic soli Par. E F, et Ven. *II.* Plerique, et in his Clark. et Vat. *δέ γε*, alii *δέ* solum. Et vide ne *δέ* abjectum sit ab iis qui apodosin reddere vellent suae protasi; cum tamen *δέ* post sermonem interruptum, neglecta protasi sermonem simpliciter continuet.

4 Schleiermacher distinguendum putat, *τὸν δὲ μὴ, ποιοῦντα ταναντία τούτων*: quod per se durum durius etiam foret eo quod *ποιεῖν* sic, esset loco horum, *ἀποχρῶντα ξυμβουλεύειν*, quae latent in his *ἀπροχρῶντα ξύμβουλον*. Quare nihildum melius video Schneideri emendatione *τοιοῦτον*.

5 Non displicet facilis anacoluthia quae est in his *εἴ τις ἱππεύειν — οἶδε —, τί καλεῖς ὃς ἂν εἰδῇ τὸ — βέλτιον γιγνόμενον*. Sed *ταύτην* pro *ἑκάςην τούτων* nimiae quidem negligentiae, neque tamen emendandum esse videtur. — Mox pro *Ἆρ' οὐ* codd. optimi simpliciter *οὐ*.

1 Plato carpit Athenienšium Remp., in qua floruerunt artes, sed absque illa scientia ejus, quod est in rebus humanis optimum. *DACER.*

2 Sic Par. G, et cum levi aberratione Cl. Vat. Ven. Vulgo *ἀ. πολιτικῶν πολιτικὸν φ. φ.*

3 Haec

των δὲ τούτων ὄντων ἄνευ τῆς τοῦ βελτίζου ἐπιστήμης καὶ
p.146 *τοῦ εἰδότος ὁπότε βέλτιον ἐνὶ ἑκάστῳ τούτων χρῆσθαι, καὶ*
πρὸς τίνα; ΑΛ. Φαύλην τινὰ ἔγωγε, ὦ Σώκρατες. ΣΩ.
Φαίης γε ἄν, οἶμαι, ὁπόταν ὁρᾷς ἕνα ἕκαστον αὐτῶν φιλο- b.
τιμούμενόν τε, καὶ νέμοντα τὸ πλεῖστον τῆς πολιτείας τούτῳ
μέρος, Ἵν' αὐτὸς αὐτοῦ τυγχάνει κράτιστος ἂν [3]*· λέγω δὲ*
τὸ κατ' αὐτὴν τὴν τέχνην βέλτιστον γιγνόμενον· τοῦ δὲ τῇ
πόλει τε καὶ αὐτὸν αὑτῷ [4] *βελτίστου ὄντος τὰ πολλὰ δημ-*
αρτηκότα, ἅτε, οἶμαι, ἄνευ νοῦ δόξῃ πεπιστευκότα. οὕτω δὲ

3 Haec verba sumpta sunt ex Euripidis Antiopa et quidem e sermone Zethi ad fratrem Amphionem, ut docet Scholiastes ad Gorgiam p. 484. e. ubi pleniora ea posuit Plato in hunc modum: *Συμβαίνει γὰρ τὸ τοῦ Εὐριπίδου, λαμπρός τέ ἐσιν ἕκαστος ἐν τούτῳ καὶ ἐπὶ τοῦτ' ἐπείγεται, Νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος, Ἵν' αὐτὸς αὐτοῦ τυγχάνῃ βέλτιστος ὤν· ὅπου δ' ἂν φαῦλος ᾖ, ἐντεῦθεν φεύγει καὶ λελιθωρεῖ τοῦτο.* In quibus verbis nexus sententiarum et particula *ὅπου* docuit viros doctos voculam *ἵνα* itidem valere *ubi* h. e. *ἐν ᾧ*, et scribendum esse proinde *τυγχάνει*. Vid. Heindorf. ad locum. Accedit Aristoteles eosdem versus respiciens Problem. 18. *Ἐν οἷς οἴεται ἕκαστος κρατιστεύειν, ταῦτα προαιρεῖται, ὃ δ' αἱρεῖται ἐπὶ τοῦτ' ἐπείγεται, νέμων τὸ πλεῖστον ἡμέρας αὐτῷ.* In nostro loco paulo aliter haec in usum suum deflexit scriptor; recte autem hic quoque nos scripsisse *τυγχάνει* (quod et habet Coisl.) pro vulgato *τυγχάνῃ*, monstrant verba haec *λέγω δὲ τὸ — γιγνόμενον*, quae non haberent quo referrentur, nisi *τούτῳ, ἵνα* — dictum esset pro *τούτῳ, ἐν ᾧ*. Tum pro *κράτιστος* hic quoque scriptum fuisse olim *βέλτιστος* e proximis, opinor, apparet. Illa autem *αὐτοῦ βέλτιστος* non confundenda sunt cum eo, quod dicere solemus, „se ipsum superasse aliquem", quando uno quodam opere cetera, quae fecit, omnia superavit: res enim ipsa et Aristotelis verba docent, intelligi hic eam artem, qua quis prae ceteris, quarum itidem gnarus est, excellit. In eam igitur solam quisque horum politicorum omnia sua *πολιτεύματα* et quantum in eo est totam remp. confert. Observent autem tirones, verbis *λέγω δὲ — γιγνόμενον* parenthetice insertis continuari accusativos pendentes ab *ὁρᾷς*.

4 Audacius hyperbaton, accusativo *αὐτόν* pertinente ad *δημαρτηκότα*, quem more attico praemisit scriptor respondenti *αὑτῷ*. Conf. Gramm. §. 138. III, 1. et supra §. 11. c. ubi paulo facilius quidem par tamen hoc exemplum habes *οὐ γὰρ τὴν ἀτουσῶν μητέρα διενοεῖτο, ἀλλὰ τὴν αὐτὸς αὑτοῦ*· huic enim simillimum est hoc: *διαμαρτάνει τοῦ αὐτὸς αὑτῷ βελτίστου ὄντος.* — Ceterum notatu dignum videtur, vocem *ὄντος* quam habent impressi omnes, in nullo codicum nostrorum inveniri nisi per correctionem in uno ex Angelicis (v). Ceteri omnes sine sensu *οὔτως*.

τούτων ἐχόντων, ἆρ' οὐκ ἂν ὀρθῶς λέγοιμεν, φάντες πολλῆς ταραχῆς τε καὶ ἀνομίας μεσὴν εἶναι τὴν τοιαύτην πολιτείαν; ΑΛ. Ὀρθῶς μέντοι, νὴ Δία. ΣΩ. Οὐκοῦν ἀναγκαῖον ἐδόκει ἡμῖν εἶναι, οἰηθῆναι δεῖν πρῶτον ἡμᾶς εἰδέναι, ἢ τῷ ὄντι εἰδέναι τοῦτο ὃ ἂν προχείρως μέλλωμεν ἢ πράττειν ἢ λέγειν; ΑΛ. Ἐδόκει. ΣΩ. Οὐκοῦν, κἂν μὲν πράττῃ ἃ τις οἶδεν, ἢ δοκεῖ εἰδέναι, παρέπεται δὴ τὸ ὠφελίμως καὶ λυσιτελούντως ἡμᾶς ἕξειν καὶ τῇ πόλει καὶ αὐτὸν αὑτῷ [1]; ΑΛ. Πῶς γὰρ οὔ; ΣΩ. Ἐὰν δέ γ', οἶμαι, ταναντία τούτων, οὔτε τῇ πόλει, οὔτ' αὐτὸν αὑτῷ; ΑΛ. Οὐ δῆτα. ΣΩ. Τί δέ; καὶ νῦν ἔτι ὡσαύτως σοι δοκεῖ, ἢ ἄλλως πως;

1 Falsa haec esse et superius demonstratis plane contraria quilibet sentit. Sed adsunt manifesta verae scripturae vestigia. Apparet enim breviter hic repeti aliqua e superioribus. Haec autem non possunt esse alia quam quae leguntur §. 13. ubi inter alia ita Socrates: *Ὅσις ἆρα τι τῶν τοιούτων οἶδεν, ἐὰν μὲν παρέπηται ἢ τοῦ βελτίσου ἐπιστήμη· αὕτη δ' ἦν ἡ αὐτὴ δήπου ἥπερ καὶ ἡ τοῦ ὠφελίμου· — φρόνιμόν γε αὐτὸν φήσομεν καὶ ἀποχρῶντα ξύμβουλον κ. τ. λ.* Jam vero codd. opt. in nostro loco pro *παρέπεται* exhibent *παρέπηται*, omisso *δή*, quod est in uno Ven. Ξ, ceteris dantibus *δέ*. His indiciis sermo restaurandus mihi videtur ita:

> *Οὐκοῦν κἂν μὲν πράττῃ ἃ τις οἶδεν ἢ δοκεῖ εἰδέναι, παρέπηται δ' ἡ τοῦ ὠφελίμου ἐπιστήμη, ὠφελίμως καὶ λυσιτελούντως ἡμᾶς ἕξειν κ. τ. λ.*

Sic apparet oculum librarii aberrasse ab *ὠφελίμου* ad *ὠφελίμως*, quo facto duabus vocibus omissis cetera leviter in aliquem, qui quidem videretur, sensum mutata sunt. Ficinus locum vertit ita: „Nonne si quis agit quidem quod novit aut nosse existimat, *addit, autem scientiam optimi*, sequitur ut utiliter agat ad seipsum et ad remp." Vides eum dare sensum verum et integrum, ita tamen ut locum aliter quam a nobis est constitutus legisse videatur. Et, quod maxime miror, verbum Ficini *sequitur* reddere videtur vulgatum *παρέπεται*; quo tamen non moveor, cum manifestissimum sit, respici hoc verbo superiorem sermonem, ubi alio sensu idem verbum usurpatur. Nisi ad Ficini sensum sic forte sarciendum esse locum credis: *παρέπηται δ' ἡ τοῦ βελτίσου ἐπιστήμη, παρέπεται καὶ τὸ ὠφ. κ. λ. ἡμᾶς ἕξειν κ. τ. λ.* Vel sic tamen displiceret Indicativus *παρέπεται* pro *παρέπεσθαι*, quod requirit praecedens *ἐδόκει* et repetitum mox *δοκεῖ*. Quare verius statuas, Ficinum quoque mutilatum legisse locum, cujus sententiam collatis superioribus ipse expleverit. Schleiermacher majorem mutationem refugiens post *παρέπηται δὲ τὸ ὠφελίμως* commate posito, apodosin incipit cum his *καὶ λυσιτελούντως*: quod tamen non uno nomine mihi quidem displicet.

2 Levi

ΑΛ. Οὐκ· ἀλλ' οὕτως. ΣΩ. Ἆρ' οὖν ἔφησθα παλεῖν b.
τοὺς μὲν πολλοὺς ἄφρονας, τοὺς δ' ὀλίγους φρονίμους;
ΑΛ. Ἔγωγε. ΣΩ. Οἰκοῦν φαμεν πάλιν τοὺς πολλοὺς δι-
μαρτηκέναι τοῦ βελτίζου, ὡς τὰ πολλά γε, οἶμαι, ἄνευ νοῦ
δόξῃ πεπιστευκότας. ΑΛ. Φαμὲν γάρ. ΣΩ. Λυσιτελεῖ ἄρα c.
τοῖς πολλοῖς μήτε εἰδέναι μηδὲν, μήτε οἴεσθαι εἰδέναι, εἴπερ
γε μᾶλλον προθυμήσονται πράττειν μὲν ταῦτα ἅτ' ἂν εἰ-
δῶσιν, ἢ οἰηθῶσιν εἰδέναι, πράττοντες δὲ βλάπτεσθαι τὰ
πλείω μᾶλλον ἢ ὠφελεῖσθαι [2]; ΑΛ. Ἀληθέστατα λέγεις. d.
ΣΩ. Ὁρᾷς οὖν, ὅτε γ' ἔφην, κινδυνεύειν [3] τόγε τῶν ἄλλων
ἐπιστημῶν κτῆμα, ἐάν τις ἄνευ τῆς τοῦ βελτίζου ἐπι-
στήμης κεκτημένος ᾖ, ὀλιγάκις μὲν ὠφελεῖν, βλάπτειν δὲ
τὰ πλείω τὸν ἔχοντα αὐτό, ἆρ' οὐχὶ τῷ ὄντι ὀρθῶς ἐφαι-
νόμην λέγων; ΑΛ. Καὶ εἰ μὴ τότε, ἀλλὰ νῦν μοι δοκεῖ,
ὦ Σώκρατες. ΣΩ. Λεῖ ἄρα καὶ πόλιν καὶ ψυχὴν τὴν μέλ- 16
λουσαν ὀρθῶς βιώσεσθαι, ταύτης τῆς ἐπιστήμης ἀντέχεσθαι
ἀτεχνῶς ὥσπερ ἀσθενοῦντα ἰατροῦ, ἢ τινος κυβερνήτου τὸν
ἀσφαλῶς μέλλοντα πλεῖν· ὅσῳπερ [1] ἂν μὴ πρότερον ἐπαυ-
p.147 ρίσῃ τὸ τῆς ψυχῆς· ἄνευ γὰρ ταύτης, ἢ περὶ χρημάτων κτῆ-
σιν, ἢ σώματος ῥώμην, ἢ καὶ ἄλλο τι τῶν τοιούτων, το-
σούτῳ μείζω ἁμαρτήματα ἀπ' αὐτῶν ἀναγκαῖόν ἐστιν, ὡς
ἔοικε, γίγνεσθαι. ὁ δὲ δὴ τὴν καλουμένην πολυμάθειάν [2] b.
τε καὶ πολυτεχνίαν κεκτημένος, ὀρφανὸς δὲ ὢν ταύτης τῆς
ἐπιστήμης, ἀγόμενος δὲ ὑπὸ μιᾶς ἑκάστης τῶν ἄλλων, ἆρ'
οὐχὶ τῷ ὄντι δικαίως πολλῷ χειμῶνι χρήσεται, ἅτ', οἶμαι,
ἄνευ κυβερνήτου διατελῶν ἐν πελάγει, χρόνον οὐ μακρὸν
βίου θέων [3]. ὥστε ξυμβαίνειν μοι δοκεῖ καὶ ἐνταῦθα τὸ τοῦ c.
ποιητοῦ, ὃ λέγει κατηγορῶν πού τινος, ὡς ἄρα πολλὰ μὲν

2 Levi inversione vocum, quam praeiverunt codd. optimi, *πράττειν μὲν* pro *μὲν πράττειν*, locum hunc emendavit Be. Antea enim illi *ἐπιθυμήσονται μέν* male respondebant haec *πράττοντες δὲ βλάπτεσθαι*, cum oporteret *βλαβήσονται*. Nunc hoc ipsum *βλάπτεσθαι* per oxymoron pendeti ab illo *ἐπιθυμήσονται*.

3 Libri omnes *κινδυνεύει* Verum unus Par. F habet e correctura.

1 Vid. de hoc loco Excursum ad h. librum.

2 Formam in *ίαν* habent omnes praeter Par. E F. Sed Cl. Vat. Ven. Par. G dant *φιλομαθίαν*, aeque male, quam quod alii loco alterius nominis habent, *φιλοτεχνίαν*.

3 Sic Par. G, cui accensendus Clark. qui sine accentu habet *θεων*. Ceteri omnes *θεῶν*. Stephani conjectura *βίου* necessaria non videtur. Veculam *οὐ* non

ἠπίσατο ἔργα, κακῶς δέ, φησιν, ἠπίσατο πάντα [4]. ΑΛ. Καὶ τί δήποτε ξυμβαίνει τὸ τοῦ ποιητοῦ, ὦ Σώκρατες; ἐμοὶ μὲν γὰρ οὐδ' ὁτιοῦν δοκεῖ πρὸς λόγον εἰρηκέναι. ΣΩ. Καὶ 17 μάλα γε πρὸς λόγον. ἀλλ' αἰνίττεται, ὦ βέλτιστε, καὶ οὗτος, καὶ οἱ ἄλλοι δὲ ποιηταὶ σχεδόν τι πάντες. ἔστι τε γὰρ φύσει ποιητικὴ ἡ ξύμπασα αἰνιγματώδης, καὶ οὐ τοῦ προστυχόντος ἀνδρὸς γνωρίσαι· ἔτι δὲ πρὸς τῇ φύσει τοιαύτη εἶναι, ὅταν λάβηται ἀνδρὸς φθονεροῦ τε καὶ μὴ βουλομένου ἡμῖν ἐνδείκνυσθαι, ἀλλ' ἀποκρύπτεσθαι ὅτι μάλιστα τὴν αὐτοῦ σοφίαν, ὑπερφυῶς δὴ τὸ χρῆμα ὡς [1] δύσγνωστον φαίνε- b. ται, ὅτι ποτὲ νοοῦσιν ἕκαστος αὐτῶν. οὐ γὰρ δήπου Ὁμη-

immerito damnaverat olim Schleierm. nunc tamen in eadem servanda acquiescendum putat.

4 Versus ex deperdito carmine Homerico cui ut paulo inferius videbimus *Margites* nomen. De eo quae hic adnotaverat Gottleber, ea plus falsi fere quam veri continebant. Statim versum ita refictum, Ὅς μὲν ἠπίσατο πολλὰ κακῶς δ' ἠπίσατο πάντα, non modo ut antiquum ipsius poetae proposuit, sed ab Aristotele quoque Poët. cap. 4. hunc ipsum versum Homero tribui dixit. Verum Aristoteles ipsum poëma quidem Homero tribuit ibi, hunc autem versum non apposuit, qui neque apud alium quemquam praeter hunc nostrum invenitur. Ceterum longe aptius hunc suis numeris restitueris ita:

Πόλλ' ἠπίσατο ἔργα, κακῶς δ' ἠπίσατο πάντα.

Alios de eodem Margite versus hosce

Τὸν δ' οὔτ' ἂρ σκαπτῆρα θεοὶ θέσαν οὐδ' ἀροτῆρα,
Οὔτ' ἄλλως τι σοφόν. πάσης δ' ἡμάρτανε τέχνης,

integros solus Clemens Alex. Strom. 1. p. 281. apposuit, Aristoteles autem Eth. Nicom. δ, 7. nonnisi dimidiato versu altero. Diserte autem hos quidem Homero Aristoteles tribuit. Certum itaque est, fuisse illis temporibus Homericum, hoc est ex antiquissimis epicae poesis temporibus propagatum, carmen ludicri et satirici argumenti, quo homo fatuus et stultus Margites nomine (vid. de v. μάργος infra ad 18.) risui propositus erat. Cf. Hesych. Suid. Apostol. in v. Eustath. ad Od. κ. p. 413. Bas. Imprimis autem legatur Wassenbergh in nott. ad Vitas Hom. p. 11. sqq. qui simul de eo Margite qui, heroicis et iambicis versibus alternis conscriptus, a posterioris aevi scriptoribus non immerito Homero abjudicabatur, et ad Pigretem aliquem referebatur, admodum probabilem sententiam edidit, hanc: Pigretem, qui ut e Suida notum Iliadem versibus pentametris interpolatam edidit, eodem modo Margiten quoque illum Homericum iambicis versibus simulque novis jocis permultis ita permiscuisse, ut interpolatus iste Margites solus postea vulgi manibus tereretur.

1 Junge ὑπερφυῶς ὡς —: vid. Gramm. §. 138, I. 5.

2 Vul-

ρόν γε, τὸν θειότατόν τε καὶ σοφώτατον ποιητὴν, ἀγνοεῖν δοκεῖς, ὅτι οὐχ οἱόντε ἦν ἐπίσασθαι κακῶς. ἐκεῖνος γὰρ ἐξιν ὁ λέγων τὸν Μαργίτην πολλὰ μὲν ἐπίσασθαι, κακῶς δέ φησι πάντα ἠπίσατο [2]. ἀλλ' αἰνίττεται, οἶμαι, παράγων τὸ κακῶς μὲν ἀντὶ τοῦ κακοῦ [3], τὸ δὲ ἠπίσατο ἀντὶ τοῦ ἐπίσασθαι. γίγνεται οὖν συντεθὲν ἔξω μὲν τοῦ μέτρου, ἔξι δ' c. ὅγε βούλεται, ὡς πολλὰ μὲν ἠπίσατο ἔργα, κακὸν δὲ ἦν ἐπίσασθαι αὐτῷ πάντα ταῦτα. δῆλον οὖν, ὅτι εἴπερ ἦν αὐτῷ κακὸν τὸ πολλὰ εἰδέναι, φαῦλός τις ὢν ἐτύγχανεν· εἴπερ γε πιστεύειν δεῖ [4] τοῖς προειρημένοις λόγοις. ΑΛ. Ἀλλ' ἐμοὶ μὲν δοκεῖ, ὦ Σώκρατες· ἢ χαλεπῶς γ' ἂν ἄλλοις τισὶ πιστεύσαιμι λόγοις, εἴπερ μηδὲ τούτοις. ΣΩ. Καὶ ὀρθῶς γέ σοι δοκεῖ. πάλιν αὖ μοι δοκεῖ [5]. ἀλλὰ φέρε πρὸς Διός [6]. d. ὁρᾷς γὰρ δήπου τὴν ἀπορίαν ὅση τε καὶ οἵα· ταύτῃ δὲ καὶ σύ μοι δοκεῖς κεκοινωνηκέναι· μεταβαλλόμενος γέ τοι ἄνω καὶ κάτω οὐδ' ὁτιοῦν παύει, ἀλλ' ὅ,τι [7] ἂν μάλιστά

2 Vulgo ἐπίσασθαι, quod habent codd. alias optimi; ceteri ἐπίσαται: solus Coisl. ἐπίσατο, quod cum augm. recte adoptavit Be. Nam nonnisi huic scripturae recte aptantur proxime sequentia; et mutatae ob id ipsum structurae indicium est illud φησί hic quoque insertum.

3 Genitivum κακοῦ aurium gratia juncturae verborum accommodavit, loco nominativi κακόν materialiter, quod dicunt, ponendi (ἀντὶ τοῦ κακόν). — Verba proxima sic vertas: „Hinc conficitur, extra metrum quidem, est tamen quod sentit poëta, hoc: —" Ad nostrum autem scriptores interpretandi morem suam mentem Socrates ita explicasset, ut diceret, verbum κακῶς h. l. valere εἰς τὸ ἑαυτοῦ κακόν.

4 Be. cum Cl. Vat. Ven. Par. G, δέοι; quod displicet.

5 Haec verba desunt in vulgatis et in codd. Ven. Ξ Σ, Paris B. In ceteris omnibus, teste Be. tribuuntur alteri interlocutori, Alcibiadi ergo, cujus etiam nomen praefixum iis est in Ed. Bas. 2. In cod. Ven. tamen, qui est Bekkeri Π, Nurnbergeri asserit Socrati haec continuari; atque in Clarkiano nulla certe inter ea et seqq. ἀλλὰ φέρε — est distinctio: Ficinus denique Socrati diserte haec continuat. Itaque eidem ego quoque affigere malui. Recte enim Schleiermacher, quanquam Alcibiadi tribuens, inservire haec verba censet nonnisi adducendae illi quae statim exponitur haesitationi (ἀπορίᾳ). Sed ob id ipsum Socrates potius verba sua repetere putandus est, non altera persona, cui hoc convenire minus videtur.

6 Mente supplendum ἐπισκεψώμεθα aut ejusmodi quid. Abruptus sermo ob parenthesin ὁρᾷς — — ὡσαύτως δοκεῖς.

7 Sic codd. opt. Vulg. ὅπερ.

8 Ho-

σοι δόξῃ, τοῦτο καὶ ἐπιδεδυκέναι αὖ καὶ οὐκέτι ὠσαύτως
18 δοκεῖν [8]. εἰ οὖν σοίγ' ἔτι καὶ νῦν ἐμφανὴς γενόμενος ὁ p.148
θεὸς, πρὸς ὃν τυγχάνεις πορευόμενος, ἐρωτήσειε, πρὶν ὁτιοῦν
εὔξασθαί σε, εἰ ἔξαρκέσει σοι ἐκείνων τι γενέσθαι, ὥνπερ
καὶ ἐν ἀρχῇ ἔλέγετο, εἴτε καὶ αὐτῷ σοι ἐπιτρέψειεν εὔξα-
σθαι· τί ποτ' ἂν οἴει ἢ τῶν παρ' ἐκείνου διδομένων λαμ-
βάνων, ἢ αὐτὸς εὐξάμενος γενέσθαι, τοῦ καιροῦ τυχεῖν;
b. ΑΛ. Ἀλλὰ, μὰ τοὺς θεοὺς, ἐγὼ μὲν οὐδὲν ἄν ἔχοιμί σοι
εἰπεῖν, ὦ Σώκρατες, οὕτως· ἀλλὰ μάργον [1] τί μοι δοκεῖ
εἶναι, καὶ ὡς ἀληθῶς πολλῆς φυλακῆς, ὅπως μὴ λήσει [2] τις
αὑτὸν εὐχόμενος μὲν κακὰ, δοκῶν δὲ ἀγαθά, ἔπειτ' ὀλίγον
ἐπισχὼν, ὅπερ καὶ σὺ ἔλεγες, παλινῳδῇ, ἀνευχόμενος ἅττ'
c. ἂν [3] τοπρῶτον εὔξηται. ΣΩ. Ἆρ' οὖν οὐχὶ εἰδώς τι
πλέον ἡμῶν ὁ παιητὴς, οὗ καὶ ἐν ἀρχῇ τοῦ λόγου ἐπεμνή-
σθην, τὰ δεινὰ [4] καὶ εὐχομένους ἀπαλέξειν ἐκέλευεν; ΑΛ.

8 Horum Infinitivorum nondum vidi qui rationem idoneam afferret. Ad partes igitur vocanda anacoluthia, ut significavimus ad Crit. 5. not. 6. Quod si cui, ut mihi certe, minus hic placet, facili negotio emendari poterit ἐπιδέδυκεν αὖ καὶ — δοκεῖ.

1 Absona videtur vox *μάργος*, quippe quae si Homerum sequaris *amentem*, *insanum* significat, sin alios, *libidinosum*, *protervum*, quorum neutrum huc facit. Sensum enim hujus loci probe perspexerat Budaeus cum, improbante quidem Stephano in Thes., positum videri diceret *μάργον* pro *difficili* et *moroso*. Quod cum a propria vocis vi diversissimum videretur; non sine causa suspicio est nata, corruptam esse vocem *μάργον* ex alia quae illum fere sensum praeberet. Neque aptius quidquam excogitari posse puto quam, quod conjecit *Heindorfius*, *μίρμερον*, quae vox et Platonica est et huic loco aptissima. In Hipp. maj. enim (p. 290. e.) de homine usurpatur *difficili et moroso*, et a scholio explicatur *φροντίδος ἄξιος, ἢ χαλεπός*. Plutarchus autem in Gryllo cap. 4. p. 988. a. Telmisiam vulpem *μίρμερον χρῆμα* h. e. *grave, molestum*, appellat. Vid. Ruhnk. ad Tim. p. 178. et Schneid. in Lexico. Sed non temere profecto hoc quoque objiciat nobis aliquis, difficile esse fines statuere intra quos hic scriptor verbo aliquo uti sive abuti potuerit. *Μάργον, insanum* dixit Homerus eum quoque qui caeco impetu mortem alicui struit (Od. π, 421.); *γαστέρα μάργην* (Od. σ, 2.), quae ad omnia perpetienda adigit: eleganter fortasse et efficaciter loqui sibi visus est noster, cum rem *periculosam* appellaret *insanam* (ein toll Ding).

2 Vid. not. 2. ad §. 1.

3 Particulam *ἄν* praebuerunt codd. optimi.

4 Vid. supra ad §. 9. not. 1.

5 Par-

Ἔμοιγε δοκεῖ. ΣΩ. Τοῦτον μὲν τοίνυν, ὦ Ἀλκιβιάδη, καὶ Λακεδαιμόνιοι τὸν ποιητὴν ἔζηλωκότες, ἔντε καὶ αὐτοὶ οὕτως ἐπεσκεμμένοι, καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἕκάστοτε παραπλησίαν εὐχὴν εὔχονται, τὰ παλὰ ἐπὶ τοῖς ἀγαθοῖς τοὺς θεοὺς διδόναι κελεύοντες αὖ σφίσιν αὐτοῖς [5] πλεῖον δ' οὐδεὶς ἂν ἐκείνων εὐξαμένων ἀκούσειε. τοιγαροῦν εἰς τὸ παρῆκον τοῦ χρόνου καὶ [6] οὐδένων ἧττον εὐτυχεῖς εἰσιν ἄνθρωποι. εἰ δ' ἄρα καὶ ξυμβέβηκεν αὐτοῖς ὥστε μὴ πάντα εὐτυχεῖν, ἀλλ' οὐ διὰ τὴν ἐκείνων εὐχὴν [7]. ἐπὶ τοῖς θεοῖς; δ', οἶμαι, ἐξὶν, ὥστε καὶ διδόναι ἅττ' ἄν τις εὐχόμενος τυγχάνῃ, καὶ τἀναντία τούτων. βούλομαι δέ σοι καὶ ἕτερόν τι διηγήσα- 19
σθαι, ὃ ποτε ἤκουσα τῶν πρεσβυτέρων τινῶν ὡς Ἀθηναίοις καὶ Λακεδαιμονίοις διαφορᾶς γενομένης ξυνέβαινεν αἰεὶ τῇ πόλει ἡμῶν ὥστε καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ὁπότε μάχῃ γένοιτο, δυστυχεῖν, καὶ μηδέποτε δύνασθαι κρατῆσαι. τοὺς οὖν Ἀθηναίους ἀγανακτοῦντας [1] τῷ πράγματι, καὶ ἀπορουμένους, τίνι χρὴ μηχανῇ τῶν παρόντων κακῶν ἀποτροπὴν εὑρεῖν, βουλευομένους αὐτοῖς δοκεῖν κράτιστον εἶναι, πέμψαντας πρὸς Ἄμμωνα, ἐκεῖνον ἐπερωτᾶν, ἔτι δὲ πρὸς τούτοις τάδε, καὶ ἀνθ' ὅτου ποτὲ Λακεδαιμονίοις οἱ θεοὶ μᾶλλον νίκην διδόασιν ἢ σφίσιν αὐτοῖς· οἱ πλείστας θυσίας, ἔφαναι, μὲν θυσίας καὶ καλλίστας τῶν Ἑλλήνων ἄγομεν, ἀνα-

5 Particulae αὖ locus hic esse non videtur, etiamsi dure admodum ad καλὰ mente retrahas. Conjicerem ἀεί, de eo quod solet fieri quoties occasio fert (v. Gramm. §. 126. Obs. 5.): sed exempla non suppetunt nisi cum praeteritis: quanquam non apparet quid impediat quo minus etiam in tempore praesente vel potius infinito ita usurpetur particula. Quod si tamen non videtur, reponendum censeo ἀεί, qua particula superius ἑκάστοτε repetatur.

Val. Max. 7, 2. *Socrates nihil ultra petendum a diis immortalibus arbitrabatur, quam ut bona tribuerent; quia ii demum scirent, quid unicuique esset utile; nos autem id plerumque votis expetere, quod non impetrasse melius foret.* Add. Juvenal. 10, 346.

6 Sic cum vulg. Par. F, et a prima manu C: ceteri omnes καὶ non habent: servavi tamen, quoniam fortiorem reddit negationem.

7 Vid. Ind. ἀλλά.

1 Τοὺς οὖν Ἀθηναίους — βουλευομένους αὐτοῖς κ. τ. λ. Oratio est ἀνακόλουθος, Accusativique absolute capiendi ut in sermone recto Nominativi. Vid. Gramm. §. 132. Obs. 1. et §. 138. II, 5.

θήμασί τε κεκοσμήκαμεν τὰ ἱερὰ αὐτῶν, ὡς οὐδένες ἄλλοι, πομπάς τε πολυτελεστάτας καὶ σεμνοτάτας ἐδωρούμεθα τοῖς θεοῖς ἀν' ἕκαστον ἔτος, καὶ ἐτελοῦμεν χρήματα ὅσα οὐδ' οἱ ἄλλοι ξύμπαντες Ἕλληνες [2]. Λακεδαιμονίοις δὲ, φάναι, p.149
d. οὐδεπώποτ' ἐμέλησεν οὐδὲν τούτων· ἀλλ' οὕτως ὀλιγώρως διάκεινται πρὸς τοὺς θεούς, ὥστε καὶ ἀνάπηρα θύουσιν ἑκάστοτε, καὶ τἆλλα πάντα οὐκ ὀλίγῳ [3] ἐνδεεστέρως τιμῶσιν ἢπερ ἡμεῖς, χρήματα οὐδὲν ἐλάττω κεκτημένοι τῆς ἡμετέρας
20 πόλεως. ἐπειδὴ εἰρήμεθα [1] ταῦτά τε, καὶ ἐπερωτῆσαι τί χρὴ πρώττοντας αὐτοὺς τῶν παρόντων κακῶν ἀπαλλαγὴν εὑρεῖν, ἄλλο μὲν οὐδὲν ἀποκριθῆναι τὸν προφήτην· τὸν γὰρ θεὸν
b. οὐκ ἐᾶν δηλονότι· καλέσαντα δὲ αὐτὸν, Ἀθηναίοις, φάναι, τάδε λέγει Ἄμμων [2]· φησὶν ἂν βούλεσθαι αὐτῷ τὴν Λακε-

2 Xenoph. Rep. Ath. 3, 3. Athenienses ait ἑορτάσαι ἑορτὰς, ὅσας οὐδεμία τῶν Ἑλληνίδων πόλεων. Mem. Socr. 3, 3. 12. ὅταν γε χορὸς ἐκ τῆσδε τῆς πόλεως γίγνηται, ὥσπερ ὁ εἰς Δῆλον πεμπόμενος, οὐδεὶς ἄλλοθεν τούτῳ ἐφάμιλλος γίγνεται. Conf. Act. Apost. 17, 23. KOEPPEN.

3 Hanc meam vulgati ὀλίγως emendationem, etsi a nullo codice confirmatam, servare tamen non dubito. Voci ὀλίγως, cujus parcissimus est veteribus usus (ap. Hippocr. Aphor. 2, 7. valet *brevi* et opponitur voci ῥᾴθρως, lente), nullus omnino hic locus est. — Mox pro ἢπερ quod est in solo Angelu et in vulgatis, codd. dant ἤ εἶπερ, quod corruptum videtur ex ἢ ἥπερ. Vid. infr. 22. n. 2.

1 V. Alcib. I. 55. not. 7. — Mox τε deest in optimis. — Tum vid. Ind. in δηλονότι.

2 Προφήτας appellatos fuisse, divinorum oraculorum Delphis, Dodonae et alibi interpretes notum: vid. Valck. ad Herod. 7, 111. Ad eorum instar igitur antistitem oraculi Ammoniaci eodem nomine appellabant: vid. Diod. 17, 51. Plut. Alex. p. 680. d. Hujus itaque formula in eloquendo oraculo sollemnis hic expressa videtur. Conf. Arrian. 7. p. 305. οἱ δὲ ὡς ἤρωϊ ἔφησαν ὅτι Θέμις ὁ Ἄμμων λέγει. Et ad verbum sane conveniunt haec Τάδε λέγει Ἄμμων cum formula e Vet. Test. notissima. Non minus autem apte jungitur his dativus Ἀθηναίοις, ut post Bekkerum distinctione nunc significavimus. Eum enim verborum ordinem qui est in Vat. Ven. Par. G, φάναι, Ἀθηναίοις τάδε λ. Α. eo securius negleximus quod e Clark. non enotatus est. Sed est aliquid insoliti in absoluto illo καλέσαντα; propter quod ne nunc quidem alienus sum a facillima Hemsterhusii (ad Luc. Dial. Mort. 13, 2.) correctione: καλέσαντα δὲ αὐτὸν Ἀθηναίους, φάναι, τάδε λέγει Α.; nimirum ut vox prophetae fuerit haec, Ὦ Ἀθηναῖοι, τάδε λ. Α. Sic enim et alibi talia proferunt scriptores e. g. Xen. Symp. 2, 12. Καὶ ὁ Σωκράτης καλέσας τὸν Ἀντισθένην εἶπεν, οὗτοι — οἶδμαι.

3 Be.

δαιμονίων εὐφημίαν εἶναι μᾶλλον, ἢ τὰ ξύμπαντα τῶν Ἑλλήνων ἱερά. τοσαῦτα εἰπεῖν, οὐκέτι περαιτέρω. τὴν γοῦν εὐφημίαν οὐκ ἄλλην τινά μοι δοκεῖ λέγειν ὁ θεὸς ἢ τὴν εὐχὴν αὐτῶν. ἔστι γὰρ τῷ ὄντι πολὺ διαφέρουσα τῶν ἄλλων. c.
οἱ μὲν γὰρ ἄλλοι Ἕλληνες, οἱ μὲν χρυσόκερως βοῦς παρασησάμενοι, ἕτεροι δ' ἀναθήμασι δωρούμενοι τοὺς θεούς, εὔχονται ἅττ' ἂν τύχῃ ταῦτα, ἐάν τε ἀγαθὰ, ἐάν τε κακὰ βλασφημούντων οὖν αὐτῶν ἀκούοντες οἱ θεοὶ, οὐκ ἀποδέχονται τὰς πολυτελεῖς ταύτας [3] πομπάς τε καὶ θυσίας. ἀλλὰ d.
δοκεῖ μοι πολλῆς φυλακῆς δεῖσθαι καὶ σκέψεως, ὅ,τι ποτὲ ῥητέον ἐστὶ καὶ μή. εὑρήσεις δὲ καὶ παρ' Ὁμήρῳ ἕτερα παραπλήσια τούτοις εἰρημένα. φησὶ [1] γὰρ τοὺς Τρῶας ἔπαυλιν ποιουμένους, Ἔρδειν ἀθανάτοισι τελήεσσας ἑκατόμβας· 21
τὴν δὲ κνῖσαν ἐκ τοῦ πεδίου τοὺς ἀνέμους φέρειν

οὐρανὸν εἴσω
Ἠδεῖαν· τῆς δ' οὔτι θεοὺς μάκαρας δατέεσθαι,
Οὐδ' ἐθέλειν. μάλα γάρ σφιν ἀπήχθετο Ἴλιος ἱρὴ,
Καὶ Πρίαμος, καὶ λαὸς ἐϋμμελίω Πριάμοιο.

ὥστε οὐδὲν αὐτοῖς ἦν προύργου θύειν τε καὶ δῶρα τελεῖν b.
μάτην, θεοῖς ἀπηχθημένους. σὺ γὰρ, οἶμαι, τοιοῦτόν ἐστι τὸ τῶν θεῶν, ὥστε ὑπὸ δώρων παράγεσθαι, οἷον κακὸν τοκιστήν. ἀλλὰ καὶ ἡμεῖς εὐήθη λόγον λέγομεν, ἀξιοῦντες Λακεδαιμονίων ταύτῃ περιεῖναι. καὶ γὰρ ἂν δεινὸν εἴη, εἰ πρὸς c.
τὰ δῶρα καὶ τὰς θυσίας ἀποβλέπουσιν ἡμῶν οἱ θεοὶ, ἀλλὰ
p. 150 μὴ πρὸς τὴν ψυχὴν, ἄν τις ὅσιος καὶ δίκαιος ὢν τυγχάνῃ.
πολλῷ γε μᾶλλον, οἶμαι, ἢ πρὸς τὰς πολυτελεῖς ταύτας πομ- d.
πάς τε καὶ θυσίας· ἃς οὐδὲν κωλύει πολλὰ μὲν εἰς θεοὺς, πολλὰ δ' εἰς ἀνθρώπους ἡμαρτηκότας, καὶ ἰδιώτην καὶ πόλιν ἔχειν ἀν' ἕκαστον ἔτος τελεῖν. οἱ δὲ, ἅτε οὐ δωροδόκοι ὄντες, καταφρονοῦσιν ἁπάντων τούτων, ὡς φησιν ὁ θεὸς, καὶ θεῶν προφήτης [2]. κινδυνεύει γοῦν καὶ παρὰ θεοῖς καὶ 22

3 Be. cum Cl. Vat. Ven. Par. G, *ταυτασί*.

1 Locus in hunc modum nullus exstabat apud Homerum. Esse debebat Il. Θ, post v. 548: ubi post Barnesium Wolfius (quem v. in Prolegg. p. 37.) versus hos ex h. l. in contextum nunc recepit. — Vjd. Ind. in ἔπαυλις. — Tum *κνῖσαν* est ex Ven. Π: *κνῖσαν* Clark. Vat.: ceteri *κνίσσαν*: Wolf. e consuetudine Homeri, *κνίσσῃν*.

2 Leg. vid. *καὶ ὁ Θ. π.*

1 Ha-

παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσι δικαιοσύνη τε καὶ φρονήσεις διαφερόντως τετιμῆσθαι. φρόνιμοι δὲ καὶ δίκαιοι οὐκ ἄλλοι τινές εἰσιν ἢ τῶν εἰδότων [1] ἃ δεῖ πράττειν καὶ λέγειν, καὶ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους. βουλοίμην δ' ἂν καὶ σοῦ πυθέσθαι, ὅτι ποτὲ ἐν νῷ ἔχεις πρὸς ταῦτα. ΑΛ.
b. Ἀλλ' ἐμοὶ μέν, ὦ Σώκρατες, οὐκ ἄλλη πη δοκεῖ, ἢ ἥπερ σοί τε καὶ τῷ θεῷ. οὐδὲ γὰρ ἂν εἰκὸς εἴη ἀντίψηφον ἐμὲ τῷ θεῷ γίγνεσθαι [2]. ΣΩ. Οὐκοῦν μέμνησαι ἐν πολλῇ ἀπορίᾳ φάσκων εἶναι, ὅπως μὴ λάθῃς σεαυτὸν εὐχόμενος κακὰ,
c. δοκῶν δὲ ἀγαθά [3]; ΑΛ. Ἔγωγε. ΣΩ. Ὁρᾷς οὖν ὡς οὐκ ἀσφαλές σοί ἐστιν ἐλθεῖν πρὸς τὸν θεὸν εὐξομένῳ [4], ἵνα μηδ', ἂν οὕτω τύχῃ, βλασφημοῦντός σου ἀκούων, οὐδὲν ἀποδέξηται τῆς Θυσίας ταύτης, τυχὸν δὲ καὶ ἕτερόν τι προσαποd. λαύσῃς. ἐμοὶ μὲν οὖν δοκεῖ βέλτιον [5] εἶναι ἡσυχίαν ἔχειν. τῇ μὲν γὰρ Λακεδαιμονίων εὐχῇ, διὰ τὴν μεγαλοψυχίαν, τοῦτο γὰρ κάλλιστον τῶν ἐν ἀφροσύνῃ γε ὀνομάτων, οὐκ ἂν οἶμαί σε ἐθέλειν χρῆσθαι. ἀναγκαῖον οὖν ἐστι περιμένειν, ἕως ἂν τις μάθῃ, ὡς δεῖ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους
23 διακεῖσθαι. ΑΛ. Πότε οὖν παρέσται ὁ χρόνος οὗτος, ὦ Σώκρατες; καὶ τίς ὁ παιδεύσων; ἥδιστα γὰρ ἄν μοι δοκῶ
b. ἰδεῖν τοῦτον τὸν ἄνθρωπον τίς ἐστιν. ΣΩ. Οὗτός ἐστιν [6], ᾧ μέλει περὶ σοῦ. ἀλλὰ δοκεῖ μοι, ὥσπερ τῷ Διομήδει φησὶ τὴν Ἀθηνᾶν Ὅμηρος ἀπὸ τῶν ὀφθαλμῶν ἀφελεῖν τὴν ἀχλύν, Ὄφρ' εὖ γιγνώσκοι ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα [7], οὕτω καὶ

1 Habes hic eundem in voce ἄλλος usum, quem in Comparativis dudum notarunt viri docti (v. Fisch. ad Well. III. a. pag. 351. Matth. Gr. §. 450. Obs. 2.). Nam cum ratio posceret vel ἄλλοι ἢ οἱ εἰδότες, vel ἄλλοι τῶν εἰδότων (v. Ind. in ἄλλος), utrumque interdum simul admiserunt Graeci. — Mox Coisl. πράττειν τε καὶ λ.

2 Bc. e Codd. optimis γενέσθαι. Iidem codd. antea omittunt μέν post ἐμοί, et pro ἥπερ cum aliis mendose exhibent εἴπερ. Vid. ad 19. extr.

3 V. Not. 2. ad §. 1.

4 Codd. opt. εὐχομ. pars ceterorum εὐξαμ.

5 Sic optimi: ceteri κράτιστον.

6 Vind. Ven. Σ et edit. Basil. 2. οὗτός τις ἐστίν, quod placebat Stephano. Contra in optimis deest et τὶς et ἐστίν.

7 Il. ε, 127:
Ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἔλον, ἣ πρὶν ἐπῆεν,
Ὄφρ' εὖ γιγνώσκῃς ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα.
In his Homeri verbis ἔλον patet

σοῦ [8] δεῖν ἀπὸ τῆς ψυχῆς πρῶτον τὴν ἀχλὺν ἀφελόντα, ἣ νῦν παροῦσα τυγχάνει, τοτηνικαῦτ' ἤδη προσφέρειν δι' ὧν μέλλεις γνώσεσθαι ἡμὲν κακὸν ἡδὲ καὶ ἐσθλόν. νῦν μὲν γὰρ οὐκ ἄν μοι δοκεῖς [9] δυνηθῆναι. ΑΛ. Ἀφαιρείτω, εἴτε βούλεται, τὴν ἀχλύν, εἴτε ἄλλο τι. ὡς ἐγὼ παρεσκεύασμαι μηδὲν ἂν φυγεῖν τῶν ὑπ' ἐκείνου προσταττομένων, ὅστις ποτ' ἐστὶν ὁ ἄνθρωπος, εἴγε μέλλοιμι βελτίων γενέσθαι. ΣΩ. Ἀλλὰ μὴν κἀκεῖνος θαυμαστὴν ὅσην περὶ σὲ προθυμίαν ἔχει. ΑΛ. Εἰς τότε τοίνυν καὶ τὴν θυσίαν ἀναβάλλεσθαι κράτιστον εἶναί μοι δοκεῖ. ΣΩ. Καὶ ὀρθῶς γέ σοι δοκεῖ· ἀσφαλέστερον γάρ ἐστιν ἢ παρακινδυνεύειν τοσοῦτον κίνδυνον. ΑΛ. Ἀλλὰ πῶς, ὦ Σώκρατες; καὶ μὴν [1] τουτονὶ τὸν στέφανον, ἐπειδή μοι δοκεῖς καλῶς ξυμβεβουλευκέναι, σοὶ περιθήσω· τοῖς θεοῖς δὲ καὶ στεφάνους καὶ τἆλλα πάντα τὰ νομιζόμενα τότε δώσομεν, ὅταν ἐκείνην τὴν ἡμέραν ἐλθοῦσαν ἴδω. ἥξει δ' οὐ διὰ μακροῦ, τούτων θελόντων. ΣΩ. Ἀλλὰ δέχομαι καὶ τοῦτο· καὶ ἄλλο δὲ ὅ τι ἄν παρὰ σοῦ δοθέντων ἡδέως ἴδοιμι δεξάμενον ἐμαυτόν. ὥσπερ δὲ καὶ ὁ Κρέων Εὐριπίδη πεποίηται τὸν Τειρεσίαν ἰδὼν ἔχοντα τὰ [2] σέφη, καὶ ἀκούσας ἀπὸ τῶν πολεμίων ἀπαρχὰς αὐτὸν εἰληφέναι διὰ τὴν τέχνην, Οἰωνὸν ἐθέμην, φησί, καλλίνικα σέφη Ἐν γὰρ κλύδωνι κείμεθα, ὥσπερ οἶσθα σύ· οὕτω δὲ καγὼ

p.151 b. c.

24

tet positum esse pro *perfecto*, quod philosophice consideratum pertinet ad *praesens* tempus: hinc est quod particulae ὅφρα *conjunctivus* ibi additus est. Eum tamen noster scriptor, qui sermone obliquo haec profert, in *optativum* vertere debuit. Vid. Dawes. p. 88.

8 Habes hic *ὀρθοτονούμενον*, quoque genitivum σοῦ pendentem a nomine (ψυχῆς) sequenti usurpatumque loco dativi qui dicitur commodi. Nunquam enim genitivus primae et secundae personae *ὀρθοτονούμενος* est loco meri possessivi, quod in oppositione semper aut ipsum ponitur (τῆς σῆς), aut pron. compos. (σαυτοῦ). Dativo ipsi tamen, σοί, quem ex optimis sane reposuit Be. equidem diffido.

9 V. ad Alc. I. 4. not. 2.

1 Mira mihique nondum observata transeundi formula: Ἀλλὰ πῶς sequente καὶ μήν, quam aliis sive explicandam sive emendandam relinquo.

2 Cave articulum sollicites, qui in memoriam audienti vocat scenam e fabula notissima. — In versibus ipsis, qui sunt e Phoenissis 865. legitur ibi *καλλίνικα σὰ σέφη*, undè pronomen *σά* inserendum censeo textui nostro. Pro *κείμεθα*, quod dant codd. opt. utque est apud Eurip. ceteri codd. *διακείμεθα*.

3 Re-

παρὰ σοῦ τὴν δόξαν ταύτην οἰωνὸν τίθεμαι [3]. *δοκῶ δέ μοι οὐκ ἐγ ἐλάττονι κλύδωνι τοῦ Κρέοντος εἶναι, καὶ βουλοίμην ἄν καλλίνικος γενέσθαι τῶν σῶν ἐραστῶν.*

3 Repetitum in apodosi δέ (οὕτω δὲ —) ob longiorem sermonem intercedentem. Sed haereo in voce δόξαν. Schleiermacher vertit *dieses dein Urtheil*, quoniam scilicet coronam Socrati Alcibiades obtulerat verbis *ἐπειδή μοι δόκεῖς καλῶς συμβεβουλευκέναι.* Sed cum coronam Tiresiae manifesto ideo tantum memoraverit Socrates ut simile donum sibi oblatum cum illa componeret, non potuit non hic etiam eo respicere. Quare suspicor natum ΔΟΞΑΝ e ΔΟΞΙΝ. Quae vox hic ob id ipsum praelata videtur quod poetica magis est quam prosaria. Hom. δόσις δ' ὀλίγη τε φίλη τε. Eurip. Herc. fur. 471. (de clava Herculis) Δαιδάλου ψευδῆ δόσιν.

EXCURSUS *ad* §. 16. *a.*

Quae in hoc loco impeditissimo omnium sunt molestissima, verba *μὴ πρότερον*, Cornarius in cod. suo Hassisteniano non invenisse affirmat. Ad cetera *Schneider* annotavit quae sequuntur. „*Ἐπουρίζειν* semper dicitur de vento, quando secundus spirat et afflat; hinc metaphorice de anima seu ejus cupiditatibus, quando hominem quasi vento vehementi et secundo ferunt in aliquam rem, ut h. l. in *κτῆσιν χρημάτων κ. τ. λ.* Mirot autem neminem vidisse, vitium haerere in eo quod *ὅσῳπερ* et *τοσούτῳ* periodi membris dispuncta fuerunt culpa librarii. Quare facili opera, omissis verbis illis omnino superfluis *μὴ πρότερον*, locum justo tractui membrorum et motui repono scribendo: — *μέλλοντα πλεῖν, ἄνευ γὰρ ταύτης, ἢ περὶ χρημάτων κτῆσιν ἢ σώματος ῥώμην ἢ καὶ ἄλλο τι τῶν τοιούτων, ὅσῳπερ ἂν ἐπουρίσῃ τὸ τῆς ψυχῆς, τοσούτῳ μείζω ἁμαρτήματα ἀπ' αὐτῶν ἀναγκαῖόν ἐστιν, ὡς ἔοικε, γίγνεσθαι.*" Nos in superiore editione animadvertebamus, trajectorum hic quaqua tandem de causa verborum hoc etiam indicium esse, quod verba *ἄνευ γὰρ ταύτης* male et ambigue dicta essent praecedente illo *τῆς ψυχῆς*. Deinde Bekker, pulchre videns tam magna trajectione opus non esse, in editione sua sola verba *ἄνευ γὰρ ταύτης* posuit ante *ὅσῳπερ*. Sed aliam rationem aperuit mihi codex Coisl. ab eodem collatus. In hoc enim pro *ὅσῳπερ* a manu corrigente scriptum *ὅσῳ γὰρ*, alterum autem *γὰρ* post *ἄνευ* erasum est. Unde haec fit oratio: *ὅσῳ γὰρ ἄν . . . ἐπουρίσῃ τὸ τῆς ψυχῆς ἄνευ ταύτης ἢ περὶ χρημάτων κτῆσιν κ. τ. ε., τοσούτῳ μείζω κ. τ. λ.* In quam rationem sponte pervenit etiam Ullrichius: qui tamen minus feliciter vulgata illa *μὴ πρότερον* servare tentat. Dicas sane, antiquiorem etiam illum codicis Coisl. correctorem ex conjectura ita emendasse. Sed, utut de eo statuas, id quod mihi ut

